καὶ ζῆν ἐν Χριστῷ, ὅτι οὐ τόπος καὶ πόλις καὶ τὰ ταύ-
της θριγγώματα κόσμος εἰσί, καὶ ὄρος καὶ πεδιὰς ἔχουσί
τι καὶ τὸ διαφέρον, ἐπεὶ καὶ Σινᾶ καὶ Γάλγαλα καὶ 440
Ἀρευθὰ καὶ Κάρμηλος καὶ πᾶσα γῆ τόπος κοινὸς ὀνο-
μάζεται καὶ ἔστιν. ἔστι δὲ καὶ κόσμος διττός· ὁ μὲν ὡς
εἰκὼν ὢν τοῦ κοσμαγωγοῦ, ὅντινα καὶ 'μικρὸν κόσμον'
ὁ Θεηγόρος διαμαρτύρεται· ἔστι δὲ καὶ ἕτερος κόσμος,
ἡ τοῦ κόσμου τρυφή, τὸ λεῖον τῆς ἡδονῆς, ἡ περιττὴ 445
τῶν περιττῶν κατάχρησις, εἴποιμι δὲ καὶ παράχρησις.

H **441** Ἀρευθά: hunc locum non repperi, nisi forte de Ἀριάθ agitur (cf. Septuag. reg. I 22,5 [A]) || **444** ὁ Θεηγόρος: Gregorius Nazianzenus, ut opinor

F **429–431** Paul. ep. Cor. 1,15,32 || **443** Greg. Naz. or. 28,22 = 148,39–40 Gall.-Jour.; 38,11 = 124,13 Mor.-Gall. sed cf. etiam Phil. Al. de post. Cain 58 = 78 Arn. quis rer. div. heres 155 = 240–242 Harl al. Meth. Ol. resurr. II 10,2 = 350,9 sqq. Bonw. Cosm. Ind. topogr. Chr. V 254 = II 371,4–5 Wolsk. Con. Ioh. Dam. exp. fid. 26,84–85 = II 79 Kott. de duab. in Chr. vol. 15,1 = IV 198 Kott.

L **431** οἱ] εἰ **A** || **436** τῷ **A**[sl] || **441** καινὸς **D** || **446** εἴποιμι] εἴποι **B** εἴπη **A**

M **442** πόσα ση(μαίν)ει τὸ κόσμου ὄνομα **D**

κόσμος ἐστὶ καὶ ἄργυρος καὶ χρυσός, καὶ λίθων διαύγεια καὶ μαργάρων στιλπνότης, καὶ ἐνδυμάτων ἄχρηστος ποικιλία καὶ σπατάλη τροφῶν καὶ τρυφῆς, καὶ
450 μαγγανεῖαι φιλαργυρίᾳ γινόμεναι καὶ κτημάτων συνεισφοραί, καὶ χρημάτων συναγωγὴ καὶ πλοῦτος κενός, καὶ τὰ τοῦ πλούτου διάφορα· δορυφορίαι πολλαί, πομπαὶ παμπληθεῖς, θεραπεῖαι τῶν μὴ δεόντων, ἁπαλότης ψυχῆς, θηλύτης νοός, χαύνωσις λόγου καὶ πάντα ὅσα ὁ
455 τοῦ κόσμου πλοῦτος ποιεῖ. ἐντεῦθεν μέρη καὶ μέρη, μάχαι τε καὶ διχοστασίαι, κἀκ τούτων πόλεμοι καὶ φόνοι – φόνου δὲ τί ἄλλο χεῖρόν ἐστιν; –. ἀλλ' εἴπῃς· οὔκ εἰσι καὶ συκοφαντίαι, οὔκ εἰσιν ὑπουλότητες, οὔκ εἰσιν ἀπάται, οὔκ εἰσιν ἐνέδραι, ἀνυποληψίαι κἀκ τούτων καὶ
460 φλυαρίαι καὶ ἄλλο εἴ τι αἰσχρόν τε καὶ ἀπρεπές; τοίνυν οὖν ὁ φεύγων ταῦτα πάντα, κἂν Σινᾶ κατοικῇ, κἂν Κάρμηλον διατρίβῃ, κἂν Νινευῒ ἐγχορεύῃ, κἂν ὅπου ἄρα εἴη, ἐν Χριστῷ κόσμον πέφευγεν.

10. Ἡμεῖς δὲ ἑτέρῳ τρόπῳ βαδίζοντες ἀπατώμεθα.
465 οἴμοι τί γένωμαι; ὁ καιρὸς προβαίνει καὶ δεσμοῦμαι τὰ μάλιστα ἐν οἷς οὐ δεῖ παραμένειν με. τὸ γὰρ λίχνον τῆς ἐμῆς ψυχῆς τὴν πρὸς τὴν ἡδονὴν σχέσιν φέρει καὶ ἑνοῦμαι, ὁ πλασθεὶς ἀπαθής, τῷ πάθει τῶν βλαβερῶν. ταῦτά σοι, ὦ τρισμέγιστε, ἐγχαράττω τῷ γράμματι, κρί-
470 νειν μὲν εἰδώς σε ἐπιστάμενον τὰ δυσέκφραστα, λεαίνειν δὲ λόγῳ σοφίας τὰ τούτων ἐπαναστήματα. ἀλλ' ἐγὼ μὲν οἶδα καὶ τὸ γράμμα ποθήσεις καὶ τὰ λεγόμενα δι' αὐτοῦ ἐπιστατικώτερον ἐπισκέψῃ, εἰ καὶ ὡς ἐμὰ τὰ πάντα σοι καὶ γνωστὰ καὶ καλά. ὅτι δὲ καὶ στεφανίτην
475 σε ἀνηγόρευσα, οἶδα ὡς πλείστην σοι τοῦτο ἔφερε τὴν ὑπόνοιαν. ὦ μὰ τὴν σὴν φιλοσοφίαν, πεφιλμένε μοι. οὐκ

L **459** ἔνεδραι **AD** ‖ **470** σε om. **A** | δυσέφικτα **D** ‖ **475** σε om. **A** ‖ **476** πεφιλημένε **A** (-λι-), **D**

εἶχέ τι ὁ λόγος ἕτερον, ἢ ὅτι διὰ τὴν νίκην καὶ τὴν ᾠδήν· εἰ δ' ἴσως τοῖς τοῦ ἐμοῦ νοὸς χεύμασιν ἐμβαθύνεις ὁ ποθητός, ποθητόν μοι καὶ τοῦτό ἐστι. καὶ ταῦτα μὲν ἐς τοσοῦτον. ἀλλ' ὦ ἐμοὶ τριπόθητε Γεώργιε, ἐμὸν 480 παραμύθιον ἰσχυρόν, ἐμὸν ἐντρύφημα λογικόν, ἐμὸν ὅτι κάλλιστον καὶ πρᾶγμα καὶ ὄνομα, ἴδῃς με ἐν μικρῷ ὡς οὐκ ἤλπισας, ἴδῃς τὸν πάντα σοι χαροπόν, κατηφῆ, δεινόν, συννοίας μεστὸν καὶ παντοίως τῇ λύπῃ τρωθέντα καὶ τιτρωσκόμενον. οἴμοι τί ἐν ἐμοὶ γέγονεν; οὐδὲν ἄλλο 485 εἴποιμι, ἢ ὅτι πάντως κάθαρσις ψυχικὴ καὶ ταπείνωσις σαρκική, ἵνα σώσῃ ὁ πλάστης τὸ συναμφότερον. σὺ δὲ τέρπου πολλὰ καὶ χαῖρε κατὰ συνέχειαν· οὐ γὰρ καὶ πρὸς τὴν σὴν φιλίαν ἡ νομὴ τοῦ παθήματος ἔφθασεν. ἀλλὰ πέποιθα ἐν Χριστῷ ἡμᾶς τερφθῆναι τὰ πάμπολλα 490 θελήσει τῆς ἑνιαίας καὶ ὑπερουσίου τριφεγγοῦς καὶ τρισυποστάτου θεότητος, ᾗ καὶ ζήσομεν καὶ τρυφήσομεν, ἐνθαδὶ μὲν παρ' αὐτῆς διϊθυνόμενοί τε καὶ κυβερνώμενοι, παρασταίημεν δὲ αὐτῇ ἐν ἡμέρᾳ τῆς βασιλείας τοῦ ἑνὸς αὐτῆς, τοῦ Χριστοῦ, γνησιώτατοι λάτραι τῆς δόξης 495 αὐτῆς εἰς αἰῶνα ἀπέραντον.

L **483** χαροποιὸν **D** || **492** ᾗ **A**

2
IN LAVDEM IOHANNIS DVCAE IMPERATORIS

Patris laudem Theodorus conscribit ut, pro omnibus virtutibus atque bonis filio benigne donatis, maximas gratias ei agat. itaque magnas Iohannis Ducae victorias memorat ex Latinis, Turcis, Cumanis, Bulgaris, Tattaris Serviisque partas, atque imperatoris virtutes valde extollit et illustrat: studium flagrans, audaciam, veritatem, pietatem, prudentiam, clementiam, iustitiam, temperantiam, liberalitatem. dein principes et duces veteres ad convivium evocat et ipsos hortatur ut carmen imperatori rite canant. in extrema oratione patrem vero rogat ut benigne hanc laudem accipiat, cum voluntas bona maiorem aestimationem mereat quam indoles ad dicendum praeclara.

Cum victorias fere omnes bellorum patris Theodorus memoret et arrogantiam omnium imperii Nicaeni hostium dicat iam fractam, veri simile puto hanc orationem circiter a. 1250 esse confectam.

Τοῦ αὐτοῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι
τοῦ υἱοῦ τοῦ ὑψηλοτάτου βασιλέως κυροῦ Ἰωάννου τοῦ
Δούκα ἐγκώμιον εἰς τὸν πατέρα αὐτοῦ τὸν αὐτὸν
ὑψηλότατον βασιλέα κυρὸν Ἰωάννην τὸν Δούκαν

1. Τῷ πατρὶ τὴν νικῶσαν μοῖραν προτίθημι· ἐμὲ καὶ γὰρ 5
οὗτος 'ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι' *παρήγαγε* καὶ παι-
δευτικῶς ἐκκαθάρας τῆς νεωτερικῆς ὑλώδους παραπλη-
ξίας ἐπὶ τὴν ἀκρότητα τῆς ὑπακοῆς αὐτοῦ ἐπεκάθισε,
καὶ τῇ πρὸς αὐτὸν ἀκλινεῖ θεωρίᾳ τε καὶ στοργῇ ἔμ-
φρονα τὸν αὐτοῦ δοῦλόν τε καὶ υἱὸν ἀληθῶς ἀπετέλεσε. 10
καὶ γὰρ τὸ μὲν διὰ τῆς αὐτοῦ πατρικῆς στοργῆς ἡμέρως
παιδαγωγήσας ἐν νουθεσίᾳ Χριστοῦ ἀνῆξε θεοφιλῶς, τὸ
δὲ φύσεως ἀκραιφνεστάτης τῆς αὐτοῦ καθαρότητος ἐν
τῷ ἐμῷ νοῒ γνῶσιν συνεισενέγκατο δαψιλῶς· ὁ αἴτιος τῷ
αἰτιατῷ, ὁ πρῶτος τῷ κατὰ χάριν δευτέρῳ, ὁ ἀσύγκρι- 15
τος τῷ οὐδενί, ὁ πολὺς τῷ μὴ ὄντι, ὁ μέγας τῷ χαμερ-
πεῖ, καὶ ἀληθῶς ὡς εἰπεῖν τῷ αὐτοῦ δούλῳ ὁμοῦ καὶ υἱῷ
ὁ πατὴρ καὶ ῥύστης καὶ κύριος. δοὺς γὰρ τὸ γενέσθαι,
τὸ εἶναι, τὸ διαμένειν, τὸ ἐν εὐπραγείᾳ βιοτεύειν παντο-
δαπῇ, τὸ πράττειν τὰ βουλητά, τὸ στέργειν ὁμοίως τὰ 20
θελητά, τὸ παντοίως ἐν τρυφῇ καὶ χαρμοσύνῃ διάγειν
με, ἐξ ἐμοῦ οὐδὲ μίαν ἀντίχαριν ἔσχε πώποτε· ὅσον δέ
γε τὴν ἀχάριστον κἀγὼ ἐκτείνομαι τρίβον ὡς ἀγνοῶν,

F **6** Eus. Caes. eccl. theol. I 12,2 = 71,5 Klost. – Hans. et cf. Clem. Rom. ep. Cor. 2,1 = I 130,6–7 Lake ‖ **20–21** cf. Agap. Diac. sched. reg. 6 = 28,15–16 Ried. οὐδὲν οὕτως εὐδόκιμον ἐργάζεται ἄνθρωπον ὡς τὸ δύνασθαι ... ἃ βούλεται πράττειν

L **1** τοῦ αὐτοῦ om. *x* | λασκάρεως **D** ‖ **2** τοῦ[2] om. **D** | κυρίου **C** ‖ **4** κύριον **C** ‖ **5** προτίθημι] προτίθη μοι **B**[ac] **A** ‖ **11** ἑαυτοῦ **A** ‖ **12** με post παιδαγωγήσας fort. inserend. ‖ **19** εὐπραγίᾳ *x* ‖ **19 sq.** παντοδαπεῖ **D** ‖ **22** εἶχε **C**

τοσοῦτον δαψιλεύει οὗτος πρός με πατρικῆς καλοκάγα-
25 θίας θεῖα ὄντως χαρίσματα, πολλῷ πλέον καρποφο-
ροῦντα ἐν τῇ ἀρούρᾳ τῆς ἐμῆς καρδιακῆς γῆς, ἢ *τὸ τῆς*
γῆς πρόσωπον πλήθη βοτανῶν ἐκτρέφει παντοδαπῶν.
ἀλλ' ἔστιν ὅτε καὶ ἀνανεύσομεν ὄκνον τε ἀπορρίψομεν
καὶ ῥαθυμίαν ὑπερνικήσομεν, καὶ οἱονεὶ ὥσπερ ἄνω
30 ἀθρήσαντες τῷ νοῒ τὸ πρωτότυπον ἀτενίσομεν, καὶ λό-
γους χαριστηρίους ἢ καὶ ἐγκωμιάζειν νομιζομένους πρὸς
αὐτὸν ἀνατείνομεν, ἐπεὶ καὶ λόγος βασιλικὴ ὄντως ἀπο-
δεκάτωσις. ἀλλ' ὅτι γε μὴν οἱ βασιλεῖς τοὺς φόρους οὐκ
ἐκ τῶν υἱῶν ἀλλ' ἐκ τῶν ἀλλοτρίων λαμβάνουσιν, ἐν ἱε-
35 ροῖς εὐαγγελίοις διδασκαλικῶς τοῦτο ἐγνώκαμεν· ἀλλ'
ἰδοὺ καὶ ἐκ τῶν υἱῶν φόρος λογικὸς ἐκτελεῖται τῷ βασι-
λεῖ, φόρος ἀγάπης εἰλικρινοῦς ἐκ καθαροῦ υἱοῦ εἰς πα-
τρικὸν βασιλικὸν ἀγαθὸν θησαυροφυλάκιον.

Ἀλλ' ὅμως ἐκ τούτου δόξειέ τισι τὸν ῥοῦν ἐκθειάζειν
40 τὴν γένεσιν καὶ μεγαλύνειν τὴν ἔκβλυσιν καὶ ὑπερεξαί-
ρειν τὴν ἀπαρχήν, καὶ τὰ τῆς πηγῆς αὐτοῦ καθαρώ-
τατα ἀρετῆς νάματα τὸν ῥύακα τὸν ἀμυδρόν, ἐμέ, με-
ταμείβειν πρὸς ἑαυτόν. ἐγκωμιαζομένου καὶ γὰρ καὶ με-
γαλυνομένου τοῦ ὡραίου φυτοῦ, ὁ τούτου καρπὸς
45 ἀγλαότερος γίνεται καὶ τῇ τούτου εὐστελεχίᾳ τῶν ἀρε-
τῶν μᾶλλον οὗτος εὐτροφώτερος ἀποδείκνυται. ὃ καὶ
μηδὲν καινὸν ὅλως δόξει τοῖς ἄφροσιν, εἰ περὶ τοῦ φυ-
τοῦ μαρτυρεῖ ὁ καρπὸς καὶ τὸν ἡλιακὸν δίσκον τὸ φῶς
τὸ πάλλον ὡς ἐξ αὐτοῦ, καὶ τὰ μέρη τὸ πᾶν, καὶ τὸ φῶς

F 26–27 Septuag. gen. 2,6 || 33–35 cf. ev. Matth. 17,25

L 30 ἀθροίσαντες B^ac A || 48 δὲ post ἡλιακὸν add. D | μαρτυρεῖ post δίσκον subaud., an δεικνύει vel quid simile inserend.?

M 30 ἀθρήσαντες A || 32 ση(μείωσαι) D

τὸν φωταγωγόν, καὶ ὁ λόγος ὁ προφερόμενος λόγον τὸν 50
ἐνδιάθετον καὶ τὸν αὐτοῦ γεννήτορα νοῦν· λόγῳ γὰρ
ἅπαντα ἐκτίσθησαν, λόγῳ τιμῶνται, λόγῳ σεμνύνονται,
καὶ διὰ λόγου τὸν πρῶτον λόγον αὐτὸν ὁμοῦ καὶ δημι-
ουργὸν υἱικῶς ἐκθειάζουσι. τί γοῦν κἀγὼ πράξω ὡς λογι-
κὸς καὶ τί ἀπάρξομαι; καὶ ποῦ τρέψομαι τὴν ἀντίχαριν 55
ἢ ὅλως εἰς τὴν τιμίαν καὶ σεπτὴν κεφαλήν; ἀλλ' ἰδοὺ
καὶ γέλωτα τοῖς πολλοῖς κινούμενον ἐνορῶ· μύρμηξ καὶ
γὰρ ἐπαινέτης λεοντιδοῦς βασιλικωτάτης ἡρῴας ψυχῆς
φαίνεται, καὶ σπινθὴρ πυρὶ ὅλου κόσμου δίδωσι φῶς,
καὶ τὸ μὴ ὂν τῷ ὑπάρχοντι χαρίζεται τὴν ὀντότητα. 60
ἀλλὰ σύγγνωθι ἡ θεία ψυχὴ καὶ δέδεξο λόγον ὁ εἰς φῶς
προαγαγών με τὸν ὄντως ἐν ἀληθείᾳ ἀμόρφωτον· καὶ
μὴν εἰ καὶ ἀδυνατήσω λογογραφεῖν, διότι καὶ αὐτὸς *ἐπι-
λείψει με χρόνος τὰ σὰ διηγούμενον* ἀριστεύματα, ἀλλὰ δὴ
καὶ τὰ μερικὰ προθύμως οὐκ ἀμελήσω τοῦ διηγήσα- 65
σθαι. καὶ γὰρ κεκομψευμένους λόγους οἶδα μυσάττῃ,
ἀληθῶς δὲ φιλεῖς τὸ ἀληθὲς ὡς ὄντως ὅλος ἀληθινὸς
καὶ τοῦ ἀληθινοῦ Χριστοῦ μίμημα καὶ εἰκόνισμα, πρὸς
ὃν καὶ πράξεις ἐκτείνεις καὶ *βίον ῥυθμίζεις* καὶ βασιλεύ-
εις πραοτάτως μίμημα τῆς πραείας καθεστηκὼς κεφα- 70
λῆς.

2. Τριττῶς καὶ γὰρ πᾶν ἀγαθὸν τελεῖται πρὸς τοῖς
βροτοῖς, ζήλῳ ἀληθείᾳ πραότητι· καὶ τὸ μὲν οἷα πῦρ τὸ
ἀκανθῶδες καὶ φρυγανῶδες ἀλλοτριοῖ ἐκ προσώπου τῆς
ἀληθείας, τὸ δὲ ἀληθῶς ἐτάζει καὶ τέμνει τὸ χεῖρον 75
ἀπὸ τοῦ κρείττονος, τὸ δὲ τῆς φύσεως ὀλισθαινούσης

F **63–64** ep. Hebr. 11,32 ‖ **69** Lucian. pisc. 30 = II 70,8–9 Macl.

L **67** ὡς] καὶ **C** ‖ **70** πραίας **BAC**

M **70** πραείας **A**

ἀνέχεται ταύτης τῶν αἰσχίστων καὶ φέρει τὰ δυσαχθῆ, καὶ τὰ τῶν ἄλλων ὑπομένει καὶ οἰκεῖα λογίζεται. ταῦτα πάντα ἐν σοί· καὶ γὰρ ζήλῳ καὶ τόλμῃ καρδιακῇ τὴν
80 Λατινικὴν ἀδικίαν, τὴν Περσικὴν καταδυναστείαν, τὴν Σκυθικὴν ἀγριότητα, τὴν Βουλγαρικὴν ὠμότητα καὶ ἀνταρσίαν ὁμοῦ, τὴν Σερβικὴν ἀποστασίαν, τὴν Τατταρικὴν ὑψηλοφροσύνην, τὴν μερικὴν Ῥωμαϊκὴν δύσνοιαν, καὶ ἁπλῶς εἰπεῖν πᾶσαν *λύμην λυμαινομένην* τὴν Αὐσονί-
85 τιδα γῆν ἀνδρικῶς ἀπεκάθηρας. σπάθῃ καὶ γὰρ βριαρωτάτης χειρὸς τέμνεις ταύτης τὸ πολυκέφαλον, ἐν ᾗ καὶ Ἀλαμανῶν τε καὶ Ἰταλῶν καὶ Βενετικῶν καὶ Λογγιβάρδων καὶ Γεννουιτῶν, Λαμπάρδων, Πισσαίων καὶ πᾶσα ἄλλη Λατινικὴ φυλὴ συμφατριάζουσα κατεδυνά-
90 στευεν. ὥσπερ ἀδικίας ὕδραν τοὺς αὐτῆς ποδοστάτους καὶ ταξιάρχας καὶ βεσκούντους κουνσούλους τε καὶ πρωτοσυμβούλους, βαρουνίους στρατάρχας καὶ τὸν αὐτῶν ψευδοταινίωτον ἀρχηγὸν δειρεκτομήσας τῆς Ῥω-

H **83** τὴν μ. Ῥωμαϊκὴν δύσνοιαν: contentiones cum Epirotis significat, cf. Georg. Acrop. hist. 21.40.45 = I 33,14 sqq.; 65,4 sqq.; 82,8–83,14 Heisenb.–W. || **84–85** τὴν Αὐσονίτιδα γῆν: imperium Romanum, sc. Byzantinum || **88** Λάμπαρδοι (Lombardi) fort. iidem ac Λογγίβαρδοι (Langobardi), cf. M. A. Andreeva, Annales de l'Inst. Kondakov, X = Mélanges A. A. Vasiliev, Pragae 1938, 138 || **92–93** τὸν αὐ. ψευδ. ἀρχηγὸν: Latinorum imperator

F **84** Herodot. VI 12,3

L **82** ὁμοῦ **B**[sl] || **90** ποδοστάτας **A** || **91** βεσκούντας **A** || **93** ψευδοταινίωτον] ψευδοταινίω τὸν **A** om. **D**

M **82 sq.** f. ταρτα(ρικήν) **C** || **89** f. συμφρα(τριάζουσα) **C** || **93** δειροτομ(ήσας) **AC**

μαϊκῆς γῆς ἠλλοτρίωσας, κρούσματί τε τοῦ σοῦ φασγά-
νου καὶ δόρατος οἱ λεοντιδῶς βριαρόχειρες πρὶν κνωδά- 95
λων γεγόνασιν ὕστερον ἀσθενέστεροι.

3. Ἀλλὰ τρέμει Πέρσης ὁ πρὶν σπονδὰς Ῥωμαϊκὰς ἕλ-
κων εἰς συντήρησιν φιλικὴν καὶ ἀντιδίδωσι καὶ ἐμεῖ τὰ
πρὶν βασιλικὰ χρήματα, ἃ καταδυναστεύσας ἀνείλκυ-
σεν ἐξ ἡμῶν, καὶ τέκνα σοι φέρει καὶ χρήματα δίδωσι 100
καί, τὸ καινότατον, ἀποικισμοὺς τῶν ὁμοφύλων ὁρῶν,
τιτρωσκόμενος τὴν ψυχήν, ἐπαινεῖ σε τὸν λαφυραγω-
γοῦντα καὶ ῥύστην ἀποκαλεῖ καὶ σωτῆρα διαφημίζει,
καὶ τὴν σὴν βριαρωτάτην χεῖρα τῇ ἀλαζόνι Τατταρικῇ
ἐπαπειλεῖται ἐκστρατείᾳ προστάτην τὸν σὸν φόβον 105
προθέμενος. σὺ καὶ εἰς ἓν συνάγεις τὴν διπλῆν κλῆσιν
τῶν Περσοσκυθῶν· καὶ γὰρ τὸ πρὶν ἐκ τῆς δυτικῆς καὶ
τῶν δυτικῶν χωρίων ἀποσπάσας τὸν Σκύθην τῇ ἑῴᾳ
ἕδνα δοῦλα τὰ τούτου γεννήματα συνεισήγαγες, καὶ ἀν-
ταλλάξας τέκνα τὰ Περσικὰ δεσμεῖς τούτων τὰς ἀντι- 110
στάσεις πρὸς τὰς δυσμὰς ἀσφαλῶς, τὴν καλλίστην ταύ-
την ἀντιστροφὴν τῷ ὑπηκόῳ σου χαριζόμενος· καὶ τοῖς
μὲν τὰ θεῖα λουτήρια δίδως ὡς ἄλλος νέος νεώνυμος
χάριτος κῆρυξ καὶ Παῦλος ἄλλος, στόμα Χριστοῦ, τοὺς

H **97** Πέρσης: Turcus ‖ **104–106** vid. ad **174 sqq.** ‖ **107 sqq.** Cumanorum migrationem in Asiam minorem (a. 1240/1241) memorat, cf. Georg. Acrop. hist. 40 = I 65,16–20 Heisenb. – W. ⟨Theod. Scut.⟩ chron. = VII 486,28–487,3 Sath. Niceph. Greg. hist. II 5 = I 36,16–37,9 Schop. – Bekk.

F **102** Diod. Sic. XVII 112,5

L **94** κρούματι **C** ‖ **104–105** χεῖρα ~ προστάτην om. **A** ‖ **109** ἕδνα] ἔθνα **A**[pc] **C**[pc]

M **109** ἕδνα] f. ἔθνη **C**

115 δὲ ἰλύος ἐκτινάξας τῆς *πυρσολάτρου* καὶ Περσικῆς τῷ θείῳ πυρὶ ἐν πνεύματι καθαίρεις ῥύπου τοῦ μυσαροῦ.

4. Ἀλλὰ στρέφεις *κημὸν καὶ χαλινοῖς σιαγόνα* τὴν ἀναιδῆ τε καὶ Βουλγαρικήν, καὶ τρώγλαις τούτους ἐγκρύπτεις καὶ φορολογεῖς αὐτοὺς ἐναργῶς, καὶ τὴν ὑπού-
120 λων τούτων ἀπελέγχεις δυσμένειαν καὶ κατακρύπτεις περὶ κρημνοὺς καὶ λαφυραγωγεῖς συχνάκις τὰ τῆς αὐτῶν γῆς ὄρη ἄβατα βάσιμα τιθεὶς τῷ σῷ στρατεύματι καὶ σεαυτῷ κραταιῶς, καὶ ἐλέγχεις τὰς παμψευδεῖς καὶ βεβήλους αὐτῶν ὑπουλότητας ἐν τῷ πυρὶ τῆς σῆς ἀν-
125 δρείας τῷ σταθηρῷ. τὸ *εἷς διώξει μυρίους* ἐν τούτοις πρακτικῶς ἐκτελεῖς, *καὶ δύο,* ἤγουν εὐτολμία καὶ εὐβουλία σῆς στρατηγίας καὶ ἀρετῆς, *μυριάδας* Βουλγαρικὰς ἄρδην ὀλέθρῳ προθήσουσι. τί δὲ τούτοις οὐκ ἐνθυμίζεις ἀναμιμνήσκων τὴν ἀρχαίαν δουλότητα, τῆς Ῥωμαϊκῆς
130 εὐνοίας τὴν ἀποπλήρωσιν ἐξ αὐτῶν, τὴν δουλόσυνον ὑπακοὴν καὶ ταπείνωσιν, ἢ αὐτονόμους καὶ αὐτοκεφάλους τοὺς ἀκεφάλους παραλείψας κατέπαυσας; ἀλλὰ πρώην μὲν καὶ Ἕλλην τοῦ Πέρσου κατεδυνάστευσε, καὶ Πέρσης Μήδας φορολογήσας ἐστάθμισε, καὶ ἀντιστρό-
135 φως ἓν ἔθνος ἑτέρου κατακυριεῦσαν τὰ βουλητὰ συνεπέραινεν· ἀλλ' ὅμως πάντα ἐσῴζοντο, καὶ ἦρχον ἀρχὴν

H 132 Bulgaros sine capite dicit quia, Ivano II Aseno a. 1241 mortuo, eorum regnum Calimanus (1241–46) et Michael (1246–56), Ivani II filii ad id temporis pueruli, tenebant

F 115 Georg. Pis. Heracl. I 14 = 240 Pert. al. || **116** cf. Septuag. Is. 4,4 || **117** Septuag. ps. 31,9 || **125–127** Septuag. deut. 32,30

L **117** κυμὸν **B**^{ac}**A** || **118** ἀναιδῆ **A**^{c} || **119 sq.** ὕπουλον **D** || **125** σταθερῷ **C** || **127** σῆς] τῆς **A** || **131** καὶ post ἢ add. **D**

M **117** κημὸν **A**

καὶ εἶχον ῥυθμὸν καὶ αὐτονομίᾳ οἰκείᾳ τὰ βουλευόμενα ἔπραττον. σὺ δὲ τῆς Βουλγαρικῆς παροινίας τοσοῦτον κατεπεκράτησας, ὡς μηδὲ πρεσβείαν δύνασθαι ποιεῖν αὐτοὺς εἰ μὴ βουλῇ καὶ λόγῳ καὶ νομοθεσίᾳ καὶ ὁρισμῷ 140 καὶ διαταγῇ τῇ καλῶς συντεταγμένῃ παρὰ τοῦ σοῦ ἀκραιφνοῦς ὑψηλοτάτου νοός· τρέμει σε ἀπειλοῦντα, νουθετοῦντα δεδίττεται, καὶ τοὺς πρώην μώλωπας ἐνορῶν σωφρονίζεται ὁ ἐπίορκος. μίμημα γὰρ τοῦ μισοχρίστου καὶ ἀντιχρίστου γεγώς, σὲ τὸν χριστὸν κυρίου δέ- 145 δοικε μὲν καὶ φρίττει κατὰ πολύ. πλὴν ἀναισχυντεῖ πάλιν ἐπιορκῶν, μὴ συνιεὶς ὁ ἀσύνετος ὅτι ἐν τῷ τελευταίῳ τῆς σῆς ἐκστρατείας πυρὶ πᾶς οὗτος τοῦ ζῆν, εἰ βουλητόν σοι, διαφθαρείη. οὗτος ὅλος καὶ γὰρ ἀναιδὴς καὶ ἐπίορκος, σὺ δὲ ὅλος ἀληθὴς καὶ κατησφαλισμένος 150 τῷ πνεύματι· ψευδόμενος οὖν ἀτυχεῖ, κινούμενος συμποδίζεται, καὶ τῇ σῇ στερροτάτῃ δημαγωγίᾳ ὑποσκελίζεταί τε καὶ καταθραύεται. *πέτρα* καὶ γὰρ στερροτάτῃ σοι *προσπεσών*, μᾶλλον οὗτος *συνθλάττεται* καὶ *γινώσκει* ὡς *βοῦς* μὲν *τὸν κτησάμενον*, ὡς δὲ *ὄνος* τὴν ἀρ- 155 χαίαν τούτου δουλόσυνον εὔνοιαν.

5. Πάλιν ἐν Σερβικαῖς δινή⟨σε⟩σιν ὁ σὸς φόβος εἰσδύς, ἐκ τρώγλης μῦν τὸν αὐτῶν ἐθνάρχην ἐξήγαγε καὶ ἴχνη τῶν σῶν ποδῶν ἀσπάζεσθαι ἔπεισε. τἆλλα δὲ παρατρέχω, τὴν τῶν πρὶν ἀποστατῶν δυσμένειαν καὶ αὐ- 160

H **157 sqq.** potentiam imperii Nicaeni apud Serviam firmatam post Ivani II Aseni mortem significat

F **153–154** ev. Matth. 21,44 ‖ **154–155** Septuag. Is. 1,3

L **145** καὶ ἀντιχρίστου om. **C** | γεγονὸς **D** ‖ **157** -σε- inserui ‖ **158** αὐτὸν **A** ‖ **159** τ' ἄλλα **C** ‖ **160–368** -χω, τὴν τῶν πρὶν ἀποστατῶν ~ γλώττης βασιλικῆς propter foliorum defectum desunt in **B**

τομάτως τὴν τούτων δουλότητα, τὴν πρὶν ἀνυποταξίαν τε καὶ τὴν ἄρδην πρός σε τούτων συνάθροισιν. συνάγεις καὶ γὰρ τὰ μέλη, ὦ μέγα κάρα, πρός σε φιλευσπλάγχνως καὶ νουθετεῖς, *ἔλαιον* τίθης εἰς τούτων *τὰ*
165 *τραύματα* τὴν σὴν εὐσπλαγχνίαν τε καὶ χρηστότητα, καταδέσμους τε καὶ συνδέσμους τὴν νουθεσίαν ὁμοῦ τε καὶ πρόσταξιν, καὶ *δηνάριον δίδως* φιλευσπλαγχνίας *τῷ πανδοχεῖ* νῷ τῶν σῶν οἰκτιρμῶν, καὶ πανδοχείῳ τοῦ σοῦ ἐλέους συγκαταθεὶς ἴασαι τούτων τοὺς μώλωπας. καὶ
170 σὺ μὲν αὐτοὺς ἐπὶ τῶν ὤμων συμπαθήσας καὶ προσπαθήσας αἴρεις καὶ διασῴζεις, οὗτοι δὲ τὴν σὴν βασιλικωτάτην τῆς ἀρετῆς δραχμὴν δουλωτικῶς προσκυνοῦσι καὶ σέβονται.

6. Ἀλλ' ἔστι τι καὶ καινότερον· τρέμει σε Πέρσης καὶ
175 φυλὴ πτοεῖται Ταττarικὴ καὶ ἄμφω ἀλλήλοις σε προτείνουσι φόβητρον· ὁ τρέμων σὲ ἀπειλεῖται τῷ φοβουμένῳ, καὶ ὅ σε δεδιὼς φυλάττει τὸν μυσαττόμενον, ὅθεν γινώσκεται ἐναργῶς βοῦς τῇ ἄρκτῳ συμβόσκεσθαι καὶ λύκος ἀναιδής τε καὶ μυσαρὸς τῷ Περσικῷ ἀρνῷ συσ-
180 σηκάζεσθαι. καὶ γὰρ οὗ φόβος τῆς σῆς βασιλικωτάτης προστάξεως, ἐντολῶν ἀληθεστάτη συντήρησις· Ἄρραβα

H **174 sqq.** cf. Georg. Acrop. hist. 41 = I 68,20–70,12 Heisenb. – W.

F **162–163** cf. Septuag. Ez. 28,25 συνάξω τὸν Ἰσραὴλ ἐκ τῶν ἐθνῶν, οὗ διεσκορπίσθησαν ἐκεῖ || **164–165** ev. Luc. 10,34 || **167–168** ev. Luc. 10,35 || **169** cf. Karathanasis pp. 34–35, n. 37 ὁ τρώσας καὶ ἰάσεται || **178–180** cf. Septuag. Is. 11,6–7; 65,25 || **181–185** cf. schol. in Lycophr. Alex. 128 = II 62 Sch. cf. etiam Niceph. Blemm. stat. reg. 11,160 = 98 Hung. – Ševč.

L **169** ἰάσαι **C** ἰᾶσαι **D** || **179 sq.** συνσηκάζεσθαι **AC** || **180** οὐ **A**

M **169** ἴασαι] ἐάσας **C**

καὶ γὰρ τὸν Γουνέα Μῆδαι καὶ Πέρσαι προσκαλεσάμενοι, στάσεως οὔσης μέσον αὐτῶν, ἐξ αὐτοῦ καὶ τῆς αὐτοῦ πρεσβείας τὴν εἰρήνην ἐκέρδανον· εἰρηνικοῖς καὶ γὰρ λόγοις τὴν εἰρήνην εἰσήγαγεν εἰς αὐτούς. καίπερ 185 οὐκ ἔστι τοῦτο καινόν· σὺ δὲ φόβῳ σῷ καὶ προστάξει καὶ ὁρισμῷ εἰρήνην τοῖς ἀνημέροις ἐπεδαψίλευσας· τοῦτο ἦν τὸ καινότερον, τὸ φόβῳ συνεισάγειν εἰρήνην καὶ ἀπειλῇ τοῦ σοῦ περιφήμου ὀνόματος ἡμεροῦν τοὺς ἀτιθάσσους καὶ νουθετεῖν. καὶ γὰρ ζήλῳ καὶ τόλμῃ καὶ 190 στρατηγίᾳ ὑπὲρ τοῦ γένους προκινδυνεύων εἵλκυσας ἀρετήν. 'ζηλῶν' καὶ γὰρ 'ἐζήλωκας' τὸν ὑπὲρ τοῦ γένους ἔνδοξον προτιμώμενος θάνατον· οὐκ ἐφείσω σαρκός, *οὐκ ἔδωκας ὕπνον σοῖς ὀφθαλμοῖς,* ἕως οὗ πρόρριζον τὴν δυναστείαν τὴν ἐθνικὴν τοῦ σοῦ λάχους ἐξέκοψας. ἔν- 195 θεν καὶ Πέρσης σε τρέμει καὶ Ἰταλὸς πέφρικε καὶ ἄλλος πᾶς ἐθνάρχης σπονδὰς εἰρήνης ἐκτελεῖ σοι τῷ φοβερῷ. αἰδοῦνται καὶ γὰρ τὴν ἀρετὴν καὶ θῆρες ὄντως ἀνήμεροι, καὶ Δανιὴλ μὲν ἴχνη ποδῶν σκύμνοι ἠσπάζοντο, σοῦ δὲ τὰ ἴχνη τῆς προσταγῆς ἀλλοδαπὰ θη- 200 ριώδη φῦλα ἐθνῶν θεοποιοῦνται καὶ ἐνστερνίζονται· καὶ

F 192 Septuag. reg. III 19,10.14 || 194 Septuag. ps. 131,4 pr. 6,4 eccl. 8,16 || 199 cf. Septuag. Dan. 6,17–25 Bel-et-dr. 31–42

L 182 καὶ[1] om. D || 192 καὶ om. D || 194 οὗ] οὐ A || 196 σε] τε A[ac] || 200 σοῦ om. C | δὲ post τὰ transp. C

M 198 γνωμικόν AD

P 198–199 αἰδοῦνται ~ ἀνήμεροι: cf. 4,212; 7,139–140

Κίλιξ τρέμει καὶ Σύρος ἐκδυσωπεῖ, καὶ πᾶς τις ἄλλος ἐκδουλεύει σοι ἐν σπουδῇ. σὺ καὶ γὰρ εἰκόνα τὴν ἐθνικήν, τὴν πολυμιγῆ τὴν πολυμελῆ τὴν πολυσύνθετον τὴν
205 πολυκέφαλον, λίθῳ ἀνδρείας στερροτάτῳ συνέτριψας ἐν σπουδῇ, κἀντεῦθεν εἰκόνα Ῥωμαϊκὴν ἐφ' ὕψους ἄρας προτρέπεις ταύτην πᾶσι τιμᾶν· οὐκ ἐν μουσικαῖς ἁρμονίαις ψαλτῳδούσαις *ᾆσμα καινοπρεπές*, ἀλλ' ἐκ λόγων τῶν σῶν παντοδαπῶν ἀριστευμάτων ἐκθειάζειν πείθεις
210 αὐτήν. προκέκριται γὰρ αὐτοῖς εἰς τὴν τῶν σῶν ἄθλων *ἑπταπλασίονα* ἔμπυρον *κάμινον* τὸ τριττὸν ἐμβαλεῖν μέρος τὸ ψυχικόν, καὶ τὴν τῶν σῶν ἀρετῶν εἰκόνα τὴν εὐφυεστάτην ἀσπάζεσθαι ὁμοῦ τε καὶ εὐφημεῖν, ἢ τῷ νωθροκαρδίῳ δυσλάτρῃ συμπεριφθαρῆναι τῷ ἐθνικῷ.
215 ἀλλὰ ταῦτα πάντα ζήλῳ καὶ ἀνδρείᾳ ἀληθινῇ ὑπὲρ τοῦ σοῦ γένους ἐποίησας, τῷ ζήλῳ μὲν ὡς διαδήματι ἐνσεμνύνας τὴν τοῦ σοῦ καρδιακοῦ σώματος διαρτίαν τὴν ἀκλινῆ, ἀνδρείαν δὲ ὥσπερ ὄργανον ἐλεγμοῦ χειρισάμενος· ὅθεν καὶ μέσον πλήθους ἐθνῶν καταδυναστευόν-
220 των τοῦ Ῥωμαϊκοῦ λάχους εἰσδύς, καὶ ζήλῳ τῷ ὑπὲρ τοῦ γένους καλλωπιζόμενος ἀληθῶς, καὶ ἀνδρείᾳ καθοπλιζόμενος, οὓς μὲν δόρατι πλήξας τὴν καιρίαν καὶ ἄφυκτον, οὓς δὲ σπάθῃ διαχειρισάμενος, οὓς δὲ ζωγρήσας μέν, ἀλλὰ φρουρίοις δυσαλώτοις ἐμπερικλείσας,

H **202** regnum Cilicium Armeniae minoris et regnum Syriae memorat, de quibus cf. C. Cahen, La Syrie du Nord à l'époque des croisades et la principauté franque d'Antioche, Parisiis 1940, 693 sqq. P. I. Zavoronkov, Viz. Vrem. 39, 1978, 93–101

F **205** λίθῳ: vid. ad **153–154** || **208** Septuag. ps. 32,3; 39,4; 95,1; 97,1 || **211** Septuag. Dan. 3,19.22

L **204** τὴν[3]] καὶ **C** || **211** ἑπταπλασίωνα **AC** || **219** ὅθεν] ὅσον **A** || **220** τῷ] τοῦ **A**

ὁμοῦ πάντων ἐθνῶν κατεκράτησας, καὶ τοὺς πρώην τῷ 225
δόρατι τὸ Ἑλληνικὸν οὐτάζοντας στῆθος ποδοκάκῃ
συνέδησας καὶ ὡς ἀνδράποδα ἔδειξας, καὶ ἐν ταῖς τῶν
Ῥωμαϊκῶν πόλεων καὶ φρουρίων οἰκοδομαῖς τῶν θριγ-
γίων τούτων τε καὶ τῶν πυργωμάτων ταπεινοὺς ὑπηρέ-
τας τοὺς πρὶν καρτεροὺς αἰχμητὰς ἀπετέλεσας, καὶ 230
μετὰ τοῦ θεοπάτορος Δαυὶδ ᾆσμα τῷ Χριστῷ ἀνεβόη-
σας· "'Ἔδωκας κληρονομίαν' τὴν πρὶν παρὰ τῶν ἐθνι-
κῶν στρατοπέδων ἀναλωθεῖσαν 'τοῖς φοβουμένοις τὸ
ὄνομά σου', παμβασιλεῦ".

7. Ἀλλὰ ταῦτα μὲν πάντα ζήλου καὶ ἀνδρείας εἰσὶ 235
γεννήματα, τὰ δὲ τῆς ἀληθείας πλεῖστα τούτων καὶ ἐν-
δοξότερα· τὰ μὲν γὰρ ἐθνῶν διδάσκουσι καθείρξεις
παντοίων καὶ συνεχεῖς, τὰ δὲ τῆς εἰρήνης καὶ εὐκληρίας
ποιήματά τε καὶ κρίματα, ἃ παρὰ τῆς σῆς ἀληθείας
κρινόμενά τε καὶ δικαζόμενα, σοὶ τὸ κλέος μᾶλλον ἀπο- 240
χαρίζονται. τίς καὶ γὰρ εἶδέ σε δικάζοντα τὸν τῶν νό-
μων ἀκριβῆ φύλακα, καὶ οὐ στόμα κυρίου σε ἀπεφή-
νατο παρ' αὐτά, διὰ τὸ πνέειν ὅλως σὸν φάρυγγα
πνεῦμα ἀληθείας τε καὶ φρονήσεως; τίς εἶδέ σε μέσον
κριτηρίου σωματουμένην ὄντως ἀλήθειαν οὖσαν, καὶ 245
οὐκ ἀπεντεῦθεν ἀλήθειαν ὁ λάρυγξ αὐτοῦ ἐμελέτησέ τε
καὶ ἀπεφθέγξατο; τίς εἶδε στέφει ἀληθείας τὸ τῆς σῆς
γλώσσης ἄκρον ἐστεμμένον ὡς λόγους ἀληθείας βρον-
τοηχεῖν, καὶ οὐκ ἐμβρόντητος γέγονεν, εἴπερ γόνος ψεύ-
δους καθέστηκεν; ἐλέγχεις γὰρ ἀληθῶς πάντα ἀναιδῆ 250

F 232–234 Septuag. ps. 60,6 || 244 ev. Ioh. 14,17; 15,26; 16,13

L 225 τῶν post πάντων add. **D** || 226 τὸ] τῶ **A** | ἑλληνικῶν **A**ac || **230** ἀποτέλεσας **A** || **242** σε **D**sl prob || **244** τε om. **A** || **247** σῆς om. **A** || **248** post ἀληθείας] τὸ τῆς σῆς γλώσσης~λόγους ἀλη-θείας iter. **A**

καὶ ὑπέροφρυν. τίς εἶδέ σε δικάζειν μὲν *ἐπιστάμενον ῥῆμά* τε καὶ διάνοιαν, ἔλεον δὲ τῇ κρίσει προτιθέμενον καὶ δωρούμενον, καὶ υἱὸν θεοῦ παραυτίκα σε οὐκ ἐκήρυξε; τίς εἶδέ σε τὰς τῶν δούλων πρὸς τοὺς ὁμοδούλους
255 βασκανίας διαλύοντα οἷα πῦρ διακριτικόν τε καὶ καυστικόν, καὶ παραυτίκα οὐκ ἐφωτίσθη ἐν πνεύματι καὶ πυρὶ ἀληθείας τῆς σῆς; τίς εἶδέ σε *στάθμην* τὰ δοκήσει τῶν ὄντων ἐλέγχουσαν ἢ *κανόνα* τὸ ἀπαρέγκλιτον τῆς ἀγαθωσύνης κατασταθμίζοντα, καὶ οὐκ ἐρύθμισεν εἰς
260 ἀρετὴν ἀληθῶς τὴν τούτου διάνοιαν; τίς εἶδέ σε μέσον ἀπορρήτων καὶ δυσεκφράστων καὶ δυσνοήτων ὁμαλὴν *ὁδὸν ἀληθείας* τὴν περιδέξιον, κἀντεῦθεν τὰ τῆς εὐωνύμου ὁδοῦ οὐ κατέλιπεν οἷα ἔμφρων πανοῦργος καὶ ἀληθής; τίς σε τὸν ἀκριβοδίκαιον ἐθεάσατο τῷ σθλεγκί-
265 στρῳ τῆς ἀληθείας ἐκτέμνοντα τὰς παραφυάδας τῶν πονηρῶν, καὶ οὐκ ἐσωφρονίσθη ὅλως οὗτος εἰς ἀρετήν; δημηγοροῦντι δὲ τίς ἐνητένισε, καὶ στρέφοντι μὲν εὐφυῶς τὰς λέξεις τοῖς ἐνθυμήμασιν, ἀντιβάλλοντι δὲ ἑτέραις ἕτερα λέξεσιν ἐνθυμήματα, καὶ κροτοῦντι τῷ λόγῳ,
270 καὶ ἱπταμένῳ τῷ λαλεῖν, καὶ γαληνῶς μὲν ὀνειδίζοντι, πραέως δὲ νουθετοῦντι καὶ παραγγέλλοντι, καὶ οὐ παι-

F 251–252 Septuag. Ios. 14,6 || 252–253 cf. Septuag. Ierem. 9,23 ἐγώ εἰμι κύριος ποιῶν ἔλεος καὶ κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς || 255–256 cf. Septuag. Is. 4,4 ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως || 257–258 Plat. Phil. 56 b 9 – c 1 || 262 Septuag. gen. 24,48

L 253 οὐκ om. **D** || 256 τῷ post ἐφωτίσθη add. **D**ac || 258 ἀπερέγκλιτον **AC** || 259 ἀγαθοσύνης **A** || 262 τὴν scripsi: τὸν **A** *x* || 265 ἐκτέμνοντα] τέμν. **D** || 266 ὅλως om. **D** || 271 παραγγέλοντι **AC**

M 264 sq. f. στλεγγίστρῳ **C** || 266 ση(μείωσαι) **A**

δείας οὗτος καὶ γνώσεως μεστὸς τοῦ δικαστηρίου ἐξῆλθεν ἐν χαρμονῇ; τίς δὲ γλώσσης σῆς ἦχου πώποτε ἤκουσε, καὶ οὐ φωνὴν ἀγγελικὴν αὐτὴν ἐφαντάσθη τε καὶ ἐνενόησε κελαδοῦσαν ὄντως ἀληθινῶς 'δόξα ἐν 275 ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη' *καὶ εὐδοκία ἐπὶ βροτοῖς* παρὰ τοῦ θεοῦ καὶ πλάστου καὶ φοβεροῦ; γλῶσσα γὰρ βασιλικὴ καὶ θεία καὶ νοερὰ οὐδὲν ἄλλο φθέγξασθαι δύναται ἢ τὸ 'δόξα θεῷ', ἣ καὶ οὐ διέλιπε πώποτε τοῦ μὴ κελαδεῖν, ὥσπερ ἀηδὼν καὶ τρυγὼν λαλιστάτη τοῦ 280 ᾄσματος, θεῖα ὄντως θεοῦ τεράστια καὶ νοήματα.

8. Ἀλλὰ πλεῖστα μὲν ἀληθείας δόγματα συχνάκις οἱ ταῖς ἀνακτορικαῖς αὐλαῖς συμπεριμιγνύμενοι ἐνωτίζονται, πλεῖστα δὲ καὶ πλειστάκις καὶ αὐτὸς ὁ θεῖος κατάλογος. τότε καὶ γὰρ ἄρχων ἐστὶν ὁ βασιλεύς, ὁπόταν 285 στηρίζῃ τὰ τῆς ἐκκλησίας καὶ τοῦ κοινοῦ, καὶ καταλλήλως οὗτός ἐστι 'βάσις λαοῦ'· τούτου μὲν ὡς ἐνσημασμένος τῷ θείῳ ὀνόματί τε καὶ αἵματι, τοῦ δὲ ὡς ἀφοσιωμένος τῇ διακονίᾳ τῇ ὑψηλῇ. ἑκατέρως οὖν στηρίζων οὗτος τοὺς ἀμφοτέρωθεν, βάσις ὄντως ἐστὶ τῆς ἐκκλη- 290 σίας τῆς ἀγαθῆς, ἣν οὐκ ἐπ' *ἀργυρίῳ* ἢ *χρυσίῳ* ὁ σωτὴρ *ἐλυτρώσατο* τῆς εἰδωλικῆς Αἰγύπτου τῆς μυσαρᾶς, *ἀλλὰ τιμίῳ* τούτου καὶ ἀχράντῳ *αἵματι.* ἀλλ' εἶδόν σε καὶ μέσον συνόδου καθήμενον καὶ χριστὸν κυρίου σε ἐξεικό-

F **275–276** ev. Luc. 2,14 ‖ **279** vid. ad **275–276** ‖ **280–281** cf. Septuag. cant. 2,12 ‖ **287** Theoph. Hephaest. Ochrid. inst. reg. = 195,10 Gaut. Niceph. Blemm. stat. reg. 2,8 = 46,2–3 Hung. – Ševč. ‖ **291–293** Petr. ep. 1,1,18–19 ‖ **292** Αἰγύπτου: cf. Septuag. Ios. 5,9 ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἀφ' ὑμῶν

L **275** ἐνενόησε scripsi: ἐνεννόησε **A** ἐννενόησε *x* ‖ **288 sq.** ἀφοσιωμένος scripsi: ἀφοσιωμένου **A** (-σιο-), *x* ‖ **293** τοῦ ante τούτου add. **D**

295 νισα, *μέσον τῶν νομοδιδασκάλων προκαθεζόμενον καὶ ἐπερωτῶντα τούτους* τὰ δυσανέκφραστα. τῷ τοι καὶ τὸ τῆς Ἰταλικῆς ὀφρύος συνάθροισμα πλειστάκις – εἴπω δὲ τἀληθὲς οὐ πλειστάκις, ἀλλ' ἐς ἀεί – τῇ πειθοῖ τῆς ἀληθοῦς σῆς ὁμιλίας κατατιτρωσκόμενον ἐξεμαίνετο μὲν
300 ἀποροῦν, ἐτυφλώττετο δὲ 'τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ' *τῶν χειλέων σου*. καρδία καὶ γὰρ ἐκφύει διαλογισμούς, χείλη δὲ τὰ ταύτῃ βουλητὰ ἀποφθέγγονται. ὃ τοίνυν χεὶρ κυρίου ἐν τῇ σῇ καρδίᾳ ἐπεδαψίλευσε, τὰ σὰ χείλη τὰ θεοχαρίτωτα ἐξηκόντιζον, καὶ
305 στόμα ὄντως Χριστοῦ σε πᾶς τότε ὁρῶν "εἴπερ – εἶπε –, τοῦ λόγου οὐχ ἥμαρτε", κἀντεῦθεν καὶ τὰ τῶν Ἰταλῶν ἡμιτελῆ μορμολύκεια ἀτελῆ τέλεον ἔδειξας, καὶ τὸν αἶνον πᾶσα ἡ ἐκκλησία Χριστοῦ τῷ προστάτῃ σοι τοῦ Χριστωνύμου λαοῦ ἐπεκρότησεν. ἐγὼ δὲ καί τι περιερ-
310 γότερον τοῦ δέοντος ἀποφθέγξομαι· μὴ τοίνυν ἐν τῷ σῷ κοιτωνίσκῳ τῷ θαυμαστῷ πνεῦμα κυρίου κατερχόμενον τὰ περὶ αὐτοῦ καθεκάστην σοι διεσάφησε, καὶ τῷ πρωῒ *πρώϊμον ὑετὸν* καὶ ποριμώτατον διὰ τῆς σῆς γλώττης ἐξέχεεν, ἵνα τὰς ⟨μὲν⟩ τῶν ἀντιπάλων καὶ ὑπερόγκων
315 Ἰταλῶν φρένας ποντίσῃς τὰς παμψευδεῖς, τὰς δὲ τῶν

H **296–301** colloquia cum Latinis de Ecclesiarum unitate a. 1234 et a. 1249–50 facta significat

F **295–296** ev. Luc. 2,46 || **300–301** ev. Luc. 4,22 || **310–312** cf. Eus. Caes. vit. Const. II 12,2; IV 22,1 = 53,21–22; 128,1–3 Wink. || **313** Septuag. deut. 11,14 Os. 6,3 Ioel 2,23 Zach. 10,1 Ierem. 5,24

L **296** τούτοις **AC** || **301** καὶ om. **D** || **303** ὃ om. *x* || **306** τῶν Ἰταλῶν] ἐκείνων **D** || **312** (et **329.463.661**) καθ' ἑκάστην **D** | τῷ] τὸ **C** || **314** μὲν inserui || **315** ἰταλῶν post ποντίσῃς transp. **D**

ἱερωτάτων λογίων ἐπιστημοναρχῶν γλώττας καταπυρσεύσης *ξέναις* ὄντως *γλώσσαις λαλῶν* – καὶ γὰρ πλειστάκις εἶδον τοῦτο ὄντως τελούμενον· τὰ γὰρ σὰ πρωτόλεια πᾶς ὁ θεῖος κατάλογος οἰκειούμενος ἐπλήρου τὰς ἀντιθέσεις –, ἀλλ' ἔχω τι ἀναβῆναι καὶ ὑψηλότερον· 320
Μωσῆς μὲν ἐκεῖνος, ὁ θεόπτης καὶ πρωτοστάτης τοῦ Ἰσραήλ, δεκάρχας πεντηκοντάρχας ἑκατοντάρχας ἐτύπωσε τῷ λαῷ, καὶ διὰ τούτων τῆς δημαγωγίας αὐτὸς ἐκυρίευέ τε καὶ ἐδυνάστευε· τῷ τοι καὶ τῇ τῆς τύρβης καὶ χλιδῆς ἐναργῶς βαρύτητι βαρυνόμενος, *ἀνάπαυσιν* 325
καὶ οὗτος τῶν θείων αὐτοῦ *κροτάφων* ἐπραγματεύετο ἐν καιρῷ. σὺ δὲ δικάζων τὰ κατὰ δῆμον καὶ τῶν θείων θεσπισμάτων ἐν πυρὶ συνειδήσεως ἀληθινῆς οὐ κατώκνησας καθεκάστην ἐπιμελούμενος· καίπερ τῶν προστατῶν μὲν προστάτης ἦσθα διηνεκῶς, τῶν ἡγουμένων 330
προάρχων, τῶν λογίων ἐξάρχων, τοῦ ἱεροῦ καταλόγου δὲ παντός, ὡς ἐν ὀλίγῳ εἰπεῖν, στόμα γλῶττα φωνὴ νοῦς λόγος πνεῦμα σὺ μόνος ὄντως καθέστηκας. ἀλλ' εὐχαῖς τούτου παντὸς ὡς υἱὸς Χριστοῦ στηριζόμενος ἐκτιτρᾷς ἐνδίκως τὸν Ἰταλόν, καὶ πλεκτάναις ἀρετῶν καὶ λόγων 335
σῶν περικλείσας αὐτὸν πλειστάκις ὁμολογεῖν τὰ δυσαπόσπαστα ἔπεισας. καὶ ἐστενάχιζε μὲν ἐκ ψυχῆς, ὅμως δ' οὖν οὐκ εἶχε τί πρᾶξαι τῇ ἀνάγκῃ ἀποπνιγόμενος. ἀληθινοῦ Χριστοῦ καὶ γὰρ σὺ μιμητὴς ὄντως καθεστηκώς, ὑπὲρ τοῦ πνεύματος τὸ σὸν πνεῦμα ὅλως κατέθη- 340
σας· ὡσαύτως *πνεύματι στηριζόμενος,* ὑπεράνω πάντων

F **317** act. apost. 2,4 || **321–323** cf. Septuag. deut. 1,15 || **325–326** Septuag ps. 131,4 || **341** Septuag. ps. 50,14

L **316** γλώττης A[ac] || **317** λαλῶν scripsi: λαλεῖν **A** *x* | γὰρ om. **D** || **331** λογικῶν **A** | ἱεροῦ] λογικοῦ **A** || **335** Ἰταλόν] ἀντίπαλον **D** || **339** Χριστοῦ] θεοῦ A[ac]

πνευμάτων ἐπάρσεως γέγονας καὶ πονηροῦ πνεύματος
ἀπάτης Ἰταλικῆς τὸ ὑπέρογκον ἐταπείνωσας· ἀληθείας
δὲ πνεύματι πυρσευθείς, μέσον συνόδου *ἀστέρων* – δι-
345 δασκάλων – *ἀειφανῶν* ἥλιος ἀπλανὴς ἐξανέτειλας καὶ
τὴν ἀλήθειαν ἐξεβόησας· οὐκ ἐν ἀζύμοις ταύτην λέξεων
ἀτελέσι λόγοις συλλογιζόμενος, ἀλλ' ἐν πνεύματι ἁγίῳ
καὶ χάριτι ἀναμεμιγμένην καὶ ἀνακεκραμένην οὖσαν
ἀληθῶς ἐξετράνωσας. ποῦ τοίνυν εἰσὶν αἱ ἐπαγωγαὶ καὶ
350 παραγωγαί; ποῦ διαιρέσεις ἐπὶ διαιρέσεις τε καὶ ὑπο-
διαιρέσεις; ποῦ προτάσεις καὶ συμπεράσματα; ποῦ
ἀναγκαῖα καὶ ἀδύνατά τε καὶ ἐνδεχόμενα; ποῦ τὸ βίαι-
ον τῶν συλλογισμῶν; ποῦ ἐνδόξων τὰ ἐνδοξότατα; ποῦ
ἐλέγχων ἐλεγμοὶ καὶ σοφίσματα; ποῦ μακρῶν βίβλων ἡ
355 ἄσκησις; ποῦ δικανικὸν ῥητορικῆς, πανηγυρικὸν ὁμοῦ τε
καὶ συμβουλευτικόν; ποῦ δογμάτων τριβή; ποῦ μελέτη
μαθημάτων παντοδαπῶν; ποῦ κανόνες γραμματικῆς
ἀξιώματά τε μαθημάτων, ποιητικῶν λόγων ὁμοῦ καὶ μύ-
θων ἀναγωγή; ποῦ δὲ μέτρον λόγων ἡρωϊκῶν [ἡρώων
360 ἀνδρῶν] περὶ ἡρώων μυθευομένων τε καὶ ἱστορουμένων;
ποῦ θυμοσόφων ξένοι λόγοι αὐτόματοι; ποῦ σοφῶν δὲ
πᾶσα σοφία γνῶσις καὶ σύνεσις; τοῦ βασιλέως γὰρ νῦν
πάντων ἐνώπιον ἀριδήλως φιλοσοφοῦντος, τούτων πάν-
των πόροι λόγων ἐκλείσθησαν. τοῦ βασιλέως καὶ γὰρ
365 ὄντως φιλοσοφοῦντος, οἱ μὴ⟨ν⟩ βασιλικῶς ζῶντες καὶ
βασιλικῶς τὰ περὶ τοῦ θείου πνεύματος ἐννοοῦντές τε

H **344 sq.** διδασκάλων: fort. ecclesiasticus ordo 'didascalorum'

F **344–345** Arrian. Ind. 25,6

L **359–360** ἡρώων ἀνδρῶν ut glossam seclusi || **365** -ν inserui

καὶ διδάσκοντες ἐμβροντήτως *παθαίνονται τὴν ψυχήν.* ἄρα γοῦν διὰ γλώττης βασιλικῆς τὸ πνεῦμα τοῦ θεοῦ μελουργεῖ. 'ἐκχεῶ' καὶ γὰρ 'ἀπὸ τοῦ πνεύματός μου' ὁ θεὸς διὰ τοῦ προφήτου φησί, καὶ πᾶσα βασιλικὴ 370 γλῶσσα τὰ ἀπόρρητα φθέγξεται.

9. Ἀλλ' ἐγὼ μὲν τῇ τοῦ βασιλέως εὐρύθμῳ φωνῇ τῇ πνευματικῇ τὰ τῶν ἐννοιῶν τῆς ψυχῆς μου ζωπυρηθεὶς ὄργανα ἐς μακρὸν τὸν λόγον συμπαρεξέτεινα, εἰ καὶ ὅλος οὗτος ἦν ἀμυδρὸς πρὸς τὰς ἐπιστημονικὰς ἀντιθέ- 375 σεις τὰς ὑπὲρ ἄνθρωπον, ἃς μόνη ἡ θεία βασιλικὴ γλῶττα ὑπὲρ τῆς πίστεως ἐκελάδησε. καὶ ταῦτα μὲν περὶ τῶν θείων εἰσί. τὰ δὲ τῆς κρίσεως οὔκουν παραδράμοιμι πώποτε. καὶ γὰρ τὸ ἓν οὖς τῇ τοῦ κεκριμένου ὁ βασιλεὺς παραφυλάττει φωνῇ· οὐ πρὸς τὸ ἄδικον 380 παρασύρεται, οὐκ ἀπογινώσκει λόγῳ τὸν ἐλεγχόμενον, κρίνων παραθαρρύνει, δικάζων δὲ συμπαθεῖ, καὶ τῇ κρίσει συναναμίγνυσι καὶ τὸν ἔλεον. ἐναργῶς καὶ γὰρ οὗτος εἰκών ἐστι θεοῦ. ἀλλὰ καὶ τὸν ψευδόμενον ἀπελέγχει καὶ τὸν ἅρπαγα θριαμβεύει, τὸν ἄδικον καταστέλ- 385 λει, καὶ ὅσοι περὶ τὸ φορολογεῖν βίᾳ τὸν ὁμόδουλον ἕλκουσι δίκας ἐνδίκους παρὰ κρίσεως τῆς αὐτοῦ δικαίας ἀποπληροῦσι. καὶ γὰρ ἀλήθειαν οὗτος καὶ φρόνησιν ἀναμορφώσας καὶ ἀναμίξας, καὶ παραστήσας οἱονεὶ θείαν εἰκόνα ἐν τῇ τούτου ψυχῇ, καὶ πρὸς ταύτην ἐς ἀεὶ 390 ἐνορῶν, ἐν φρονήσει καὶ ἀληθείᾳ τὰ χρηστὰ ἀπεργάζε-

F **367** Clem. Al. str. IV 22 = 310,5 Stähl. – Fr. Eustath. Thess. de Thess. urbe a Lat. capta narr. = 144,36 Kyr. || **369** Septuag. Ioel 3,1.2

L **368** a τὸ πνεῦμα τοῦ θεοῦ incipit rursum **B** || **375** ὅλως **B**[ac] | ἀμυδρῶς **B**[ac]**A** | τὰς om. **A** || **376** ἀνθρώπων **C** || **382** μὲν post κρίνων fort. inserend.

ται ἅπαντα. ἀλλὰ ταῦτα μὲν πάντα φρονήσεως καὶ
ἀληθείας γεννήματα, ὅτι καὶ πρότερον τῷ ζήλῳ καὶ τῇ
ἀνδρείᾳ τὰ τῶν ἐθνῶν φῦλα κατεμαστίγωσε· τανῦν δὲ
395 ἀληθείᾳ καὶ φρονήσει εἰρηνικῶς τὸ ὑπήκοον ἐψυχαγώ-
γησε, κἀντεῦθεν πραότητι δικαιοσύνην συγκερασάμενος
στέφος θείας ἀνεδήσατο χάριτος. "*ἐπὶ τίνα* γὰρ *βλέψω*
– λέγει ὁ κύριος –, ἢ ἐπὶ τὸν πρᾶον καὶ *ἡσύχιον* καὶ ἐν
δικαιοσύνῃ ζῶντα καὶ μένοντα;". ἐν *φωνῇ* καὶ γὰρ *αὔρας*
400 πραείας *λεπτῆς* Ἠλιοὺ κατεῖδε τὸν κύριον, καὶ ἐν πραό-
τητι ἀρεταίνων ὁ βασιλεὺς εἰκονίζει ὄντως τὴν ἐν τοῖς
ὑπερουρανίοις θείαν πραότητα.

10. Ἀλλὰ *τί* σοι τῷ βασιλεῖ μου *βοήσομαι*; τί σοι
φθέγξομαι τῷ γλυκεῖ ποιμένι; τί σοι εἴπω τῷ πραοτάτῳ
405 μου; ἀπορῶ τὰς τῆς πραείας σῆς κεφαλῆς ἐπιστημονι-
κὰς συμπαθείας τε καὶ πραότητας φθέγξασθαι. κινοῦ-
μαι δ' οὖν ὅμως ταῖς τῆς φύσεως ἀφορμαῖς τὸ θηριῶδες
ὁμοῦ καὶ τὸ πρᾶον ἀνερευνῆσαι ὅλῃ σπουδῇ, ὅθεν τὸ
κατὰ φύσιν ἀκριβωσάμενος, σοὶ τῷ κατὰ χάριν μιμητῇ
410 τοῦ Χριστοῦ τὸ κρεῖττον μέρος ἀποχαρίσομαι. φύσει
μὲν οὖν ἀνθρωπίνῃ τὸ θηριῶδες ὅλως οὐ δέδεται, πραό-
της δὲ ἐν ταύτῃ ἔχει φύσει τὸ ἔμμονον· ὅθεν καὶ τὸ τῆς
κακίας μέρος τῷ καθαρῷ μέρει τῆς ψυχῆς καὶ πρὸς τὸ
πρᾶον ὁλοσχερῶς ἀφορῶντι ἐπιβασκαῖνον διαπαντὸς
415 μερίδα πονηρίας ἀποτελεῖ. καὶ ὅσοι μὴ βέβαιοι τὴν φύ-

F **397–398** Septuag. Is. 66,2 || **399–400** Septuag. reg. III 19,12 || **403** Septuag. Is. 40,6 || **412–415** cf. Plat. resp. IV 439 d 4–8 Phaedr. 247 b 3–4

L **394** τανῦν δὲ] ὅσα δὲ νῦν **D** || **405** τὰς] τὰ **C** || **408** πρᾶον scripsi (**C**[m]; cf. **414.510.520**): πραέον codd. || **412** ἔμμενον **C** || **414** διὰ παντὸς **AC**

M **408** πρᾶον **C** || **415** ση(μείωσαι) **D**

σιν εἰσὶν εἰς τὴν ἀρετὴν ἐκ σπουδῆς, τῷ θυμικῷ συγκαταθολούμενοι ἐκ τοῦ δέοντος παρατρέπονται, κἀντεῦθεν κρημνῷ ἀγριότητος ἐμπεσόντες, οἱ τὰ ἀτίθασσα τιθασσεύειν ἠξιωμένοι παρὰ θεοῦ ἀτιθάσσευτοι μένουσιν. ἑδραῖοι μέντοι τὰς φύσεις ἕτεροι ὄντες καὶ ἀνδρικὰ μὲν 420 φρονοῦντες, δικαίως δὲ διακρίνοντες, οὐ ῥέπουσι πρὸς θυμόν, οὐ κλίνουσι πρὸς ὀργήν, καὶ πρὸς τὸ τῆς ἀπηνείας μυσαρώτατον σπούδασμα ψυχὴν ὅλως οὐ συμβιβάζουσι. τοιγαροῦν καί σοι τῇ θείᾳ κεφαλῇ ὁ νῦν λόγος εἰκόνα πραότητος ἀγαλματώσας ἀνέστησεν, ὥσπερ 425 θείου λαοῦ κοσμήτορι. σὺ καὶ γὰρ πᾶσι δείξεις τὰ ἀγαθά· ἐν τῇ σῇ καὶ γὰρ ἀνεξικακίᾳ τε καὶ χρηστότητι τοῦ θυμικοῦ τὰ βέλη εἰς ἐξολόθρευσιν ἐκτριβήσονται· πρόχειρος γὰρ εἰς εὐεργεσίαν ὄντως καθεστηκώς, συνεισφέρεις καὶ τὴν πραότητα. οὐκ ἐκ βίας τὸν εὐεργετού- 430 μενον ὅλως εὐεργετεῖς· *τὸ γὰρ βίαιον οὐχ ἱλαρόν.* ἀλλὰ τίς μὲν οὖν σὺν μόχθῳ, σὺν κόπῳ τοῦτο ἀποπληρώσειεν, ὅπου δὲ πραείας καὶ θεομιμήτου κεφαλῆς εὐεργετικῆς εὐεργέτημα ἐν ἱλαρότητι ὄντως ἐκτελεῖται βασιλικῶς; καὶ γὰρ *ἱλαρὸν δότην ἀγαπᾷ ὁ θεός,* καὶ ὡς ἱλαρῷ βασιλεῖ 435 τε καὶ πράῳ Χριστὸς τὸν κλῆρον τούτου σοι ἐχαρίσατο, οὐκ ἐπὶ τριβόλους καὶ τόπους κρημνώδεις ἕλκοντι ὅλως θυμοῦ τὸ ὑπήκοον, ἀλλ᾽ ἐν πραότητι γαληνιαίως τοῦτο ἐν ἀρετῶν ποιμαίνοντι πόαις καὶ ἄνθεσι. σωτὴρ γοῦν κἀντεῦθεν τῶν ἀρχομένων ἐμπράκτως ἀναφανείς, πρα- 440 έως μὲν ὁμιλῶν, ἐλευθέρως δὲ καὶ ἱλαρῶς θεσπίζων τὰ τοῖς λαοῖς εἰς εὐεργεσίαν θειότατα ὄντως θελήματα, εἰκονίζεις τὸν πλαστουργόν. τὸ δέ γε στάσιμον τῆς δίκης

F **431** Arist. eth. Eud. II 1223 a 29–30 cf. etiam m. mor. I 1188 a 1–3 ‖ **435** Septuag. pr. 22,8 a

L **431** ὅλως] ὄντως **C** ‖ **436** τοῦτον **A**

ἀναμιγνὺς τῇ πραότητι, θεοῦ κἀντεῦθεν χαρακτηρίζεις
445 τὸ ἰδιαίτατον· ὑπὲρ γὰρ ἅπαντας ἄλλους θεὸς πραέως
ἐλέγχει τὸν ἁμαρτάνοντα. ἀλλ' ὦ πάντες ἄνθρωποι,
'θύσατε θυσίαν' τῷ βασιλεῖ τῷ ἀγαθῷ ἐν συνειδότι εὐ-
νοίας δουλικῷ πᾶσαν προαίρεσιν 'καὶ ἐλπίσατε ἐπὶ κύ-
ριον', καὶ τῷ θείῳ κηδεμόνι τῷ ἐξ αὐτοῦ σφραγισθέντι
450 κόσμου ὅλου εἰς λύτρωσιν 'ἐν φωνῇ ἀγαλλιάσεως καὶ
ἐξομολογήσεως ἤχου' συνειδότος *κραυγάζοντος* φθέγ-
ξασθε· "*Ἐκάθισας ἐπὶ θρόνου,* εἰρηνικέ, τοῦ ποιῆσαι ἐν
πραότητι ἔλεον – *κρίμα καὶ γὰρ βασιλέως δικαιοσύνη ἐστίν*
–· ἐπετίμησας ἔθνεσι τῷ φοβερῷ θυμῷ καὶ ἀπώλετο ἡ
455 τοῦ μίσους ἀσέβεια· ἀντεισήχθη δὲ αἶνος ὁ ἐπουράνιος
καὶ ἐπίγειος, πραεία φωνή, ᾆσμα θεοφιλὲς καὶ καινότα-
τον, αἶνος εὐνοϊκός, εἰρηναῖον ἐγκώμιον, πάνδημος μαρ-
τυρία, ἔπαινος κηρυκεύων ἀναφανδὸν καὶ ἡ τῶν περικύ-
κλῳ χωρῶν ὁμοῦ τε καὶ πόλεων καὶ ἐθνῶν εὐφημία ἡ
460 ἀδιάδοχος, 'ὡς θαυμαστὸν' κἀντεῦθεν 'τὸ ὄνομά σου ἐν
πάσῃ τῇ γῇ'". διὰ τοῦτο ἐν τῷ φυλάσσειν σε τὴν θείαν
πραότητα, ἀνταπόδοσις παρὰ Χριστοῦ σοι πολλή. 'πα-
ραπτώματα' καὶ γὰρ 'τίς συνήσει' ἃ καθεκάστην μὲν
συγχωρεῖς, ἀδιαδόχως δὲ παραβλέπεις, θεοκυβέρνητε;
465 οἶδ' ὅτι πάντως ἐν καιρῷ καὶ τῷ Χριστῷ βοήσεις 'ἐν
παρρησίᾳ πολλῇ' τοῦ σοῦ λάχους ὡς δεῖ προϊστάμενος·
"'Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου' καὶ ἀρω-
γὸς γενοῦ τῷ σῷ θείῳ Χριστωνύμῳ λαῷ". σοῦ δὲ τοῦ φί-
λου τούτου οἶδα οὐ παρακούσειεν, ἀλλὰ καὶ λίαν τὸ αἰ-

F **447–449** Septuag. ps. 4,6 || **450–451** Septuag. ps. 41,5 || **452** Septuag. reg. III 1,13.17.20.24 al. || **453** Septuag. ps. 118,75 || **460–461** Septuag. ps. 8,2 || **462–463** Septuag. ps. 18,13 || **465–466** Septuag. sap. 5,1 || **467** Septuag. ps. 24,18

L **455** ὁ om. *x* || **465** οἶδ'] οὐδ' **A**

τούμενον δώσει σοι. τί καὶ γὰρ ὅλως ὁ μὴ κατὰ τὸ πλῆ- 470
θος τῶν ἀνομιῶν τοῦ λαοῦ 'ἐκζητῶν ἐκζητήσει' παρὰ
τοῦ ἀγαθοῦ καὶ πατρός, καὶ ῥᾳδίως τούτου οὐκ ἐπιτεύ-
ξεται; αὐτὸς καὶ γάρ φησιν· "'ἐποίησας τὴν κρίσιν μου
καὶ τὴν δίκην μου' ἐν φρονήσει πραεῖαν καὶ ἀνεξίκα-
κον". ταῦτά σοι πάντα, βασιλεῦ, ἰδιαίτατα. ὦ πραείας 475
κεφαλῆς εἰς συντήρησιν τὴν διαρτίαν ὅλην συντηρούσης
τοῦ σώματος· ὦ ψυχῆς ἀθολώτου καὶ εἰλικρινεστάτης,
ἀνοθεύτου ἀσύλου καὶ ἀμώμου, ἀσπίλου καὶ ἀκεραίας·
ὦ γνώσεως ἐν τριττῷ σχήματι ὁμοῦ τε καὶ ἀριθμῷ εἰκο-
νιζούσης τριαδικῶς ἐναργῶς τὴν ἄνω τριττὴν ὁμοῦ καὶ 480
ἑνιαίαν θείαν πραότητα· ὦ πλούτου ὄντως βασιλικοῦ
ἠρέμα μὲν τρέχοντος, *ἐκ χειλέων* δὲ *ἀποστάζοντος* ῥεῦμα
μέλιτος γλύκιον· ὦ βάθους καρδίας βασιλικῆς ἑτοίμου μὲν
εἰς εὐεργεσίαν, ἀκινήτου δὲ πάντη εἰς ὀξύτητος κίνησιν
μανικήν· ὦ γλυκέων ὀφθαλμῶν μεστῶν ὅλως τῆς γαλη- 485
νότητος· ὦ διακρίσεως κριτικοῦ, ὀξυδορκίας φαντα-
στικοῦ καὶ μνημονικοῦ ἀληθινῆς καθαρότητος· ὦ ψυχῆς
ἁγίας ἀνδρικῆς καὶ βασιλικῆς, μὴ πρὸς θυμὸν μὲν ἐπαι-
ρομένης, ἀλλὰ ζεούσης πνεύματι. διὰ τοῦτο καὶ ὁ προ-
φήτης ἐφθέγγετο· 'υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρ- 490
διοι;' ἐνατενίσατε ὄντως τῷ βασιλεῖ καὶ πραότητος εἰ-
κόνα ὅλως μιμήσασθε· οὐκ ἔστι καὶ γὰρ ὅλως ὀργὴ ἐν
τῷ θυμῷ αὐτοῦ, ἀλλὰ ζωὴ ἐν τῷ τούτου εὐσεβεστάτῳ
θελήματι. 'διὰ τοῦτο ἔχρισεν' *αὐτὸν ὁ Χριστὸς ἐλαίῳ*

F **471** Septuag. deut. 23,22 || **473–474** Septuag. ps. 9,5 || **482–483** Septuag. pr. 5,3 Hom. Il. I 249 || **483** Septuag. Iudith 8,14 || **490–491** Septuag. ps. 4,3 || **494–496** Septuag. ps. 44,8–9

L **470** ὃ **A** || **475** ἰδιαίτα **A** || **477** ἀθολότου **BAC** || **478** καὶ ante ἀνοθεύτου add. **D** || **482** ἀποστάζοντας **BA** (-ος **A**pc prob) **D** || **485** ὅλως] ὄντως **C** || **490** ἐφθέγξατο **D** || **492** καὶ om. **D** || **493** τούτου εὐσεβεστάτῳ om. **A**

495 *ἀγαλλιάσεως παρὰ πάντας βροτούς*· 'σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων' τῶν ἐν κρίσει πραέων ἐνδυμάτων τῶν λόγων αὐτοῦ, *ἐξ ὧν εὐφράνθη ὁ κύριος*· 'παρέστη ἡ' βασιλὶς 'βασίλισσα' δικαιοσύνη 'ἐκ δεξιῶν' *τούτου* σεμνοπρεπῶς, 'ἐν ἱματισμῷ' ἀληθείας 'περιβεβλη-
500 μένη, πεποικιλμένη' *τῷ ἐρυθρῷ*· ἣν συχνάκις καὶ κατεφίλησε καὶ 'ἡ γλῶσσα' αὐτοῦ ὡς 'κάλαμος ὀξυγράφου' τὴν ἀλήθειαν ἐδογμάτισεν. ἀληθινοῦ γὰρ ὄντως ὢν Χριστοῦ μιμητής, ὁ τούτου χριστὸς ἀλήθειαν ἐξεζήτησεν· αὐτὴν δὲ εὑρὼν καὶ δι' αὐτῆς ποδηγούμενος, τῇ ἄνω
505 ἀληθείᾳ πάρεδρος γέγονεν. ἐνθένδε *κατέστησεν αὐτὸν* ὁ παμβασιλεὺς *ἐπὶ τὰ* θεῖα *ἔργα τῶν τούτου χειρῶν,* πάντα ὑπέταξεν ὑπὸ τοὺς ὡραίους πόδας αὐτοῦ, *ἔδωκεν* αὐτῷ *κληρονομίαν* ἀληθινὴν τοῦ ἀρεταίνειν ἐν ἀρεταῖς. τί καὶ γὰρ ὅλως βασιλικὸν χαρακτήρισμα καὶ ἰδίωμα, ἢ τὸ
510 πρᾶον καὶ ἥμερον; οὐ διέλιπε δὲ τοῦτ' αὐτὸ ἐκ τοῦ βασιλέως πώποτε, κἀντεῦθεν ὁ βασιλεὺς βασιλεὺς βασιλευόντων κατὰ χάριν θεοῦ γινώσκεται, τὸν ἀδικούμενον ἐλεεῖ, τῷ βλαπτομένῳ βοηθεῖ, τὸν νοσοῦντα θεραπεύει καὶ ἀνορθοῖ, τῷ ὑγιαίνοντι εὐποιΐας μοῖραν παρέχει βα-
515 σιλικῆς, καὶ ἁπλῶς εἰπεῖν βασιλικῶς ἐφορᾷ τὸ ὑπήκοον. πραότης καὶ γὰρ μέχρι καὶ αὐτῶν περάτων οἰκουμένης ὅλης σχεδὸν τὴν εὐφημίαν τῷ βασιλεῖ ἐχαρίσατο. ταῦτα

F **497** Septuag. ps. 44,9 || **497–500** Septuag. ps. 44,10 || **501** Septuag. ps. 44,2 || **505–506** Septuag. ps. 8,7 || **507–508** Septuag. ps. 2,8; 60,6 Iob 42,15

L **495** παρὰ **A**[sl] | βροτούς] αὐτοὺς **D** || **496 sq.** ἐνδυμάτων] ἐνθυμημάτων **A** || **502** ὄντως] ὄντος **A** || **513** βοηθοῖ **A** || **513–514** τὸν νοσοῦντα ~ ἀνορθοῖ om. **A**

M **496 sq.** (ἐν)δυμάτων **A** || **508** ἀρεταίνειν] ἀρετᾶν **C**

πάντα πραότητος καὶ δικαιοσύνης γεννήματα καθεστήκασιν, ὅτι μέντοι γε καὶ πᾶν τὸ κατ' ἀρετὴν ἐκτελούμενον δικαιοσύνη ἐστίν, ὅτι δὲ καὶ ὁ τὸ πρᾶον τοῦ Χρι- 520
στοῦ μιμησάμενος δικαίως ἐκμιμεῖται τὸν ὑπερύψηλον.

11. Διὰ τοῦτο τριττῶς πᾶν ἀγαθόν, ὡς ἄνωθεν εἴρηται, τελεῖται πρὸς τοῖς βροτοῖς· τὸ μὲν ζήλῳ καὶ ἀνδρείᾳ ὁμοῦ, τὸ δὲ ὡσαύτως ἀληθείᾳ τε καὶ φρονήσει, τὸ δὲ πραότητι καὶ δικαιοσύνῃ. ταῦτα δὲ πάντα ἐν τῷ 525
ἀγαθῷ πυξίῳ τῆς εἰλικρινοῦς ψυχῆς τῆς βασιλικῆς οἱονεὶ ἐνθησαυρισθέντα, πᾶσαν ἀρετὴν ἄρδην τούτῳ ἀπεχαρίσαντο. ἐπεὶ δὲ ἡ τοῦ ἄρχοντος σωφροσύνη στέφανός ἐστι βασιλικός, ταύτην ἔσχεν ὄντως ὡς ἐπισφράγισμα. τί γάρ; πότερον τοὺς τῶν σκιρτημάτων κρατοῦν- 530
τας ἄρχειν τοῦ ὁμοφύλου χρεών, ἢ οἱ ἀκρατεῖς τούτου ὅλως ἐμπιστευθήσονται, οἳ περὶ τὰς ὀρέξεις ὅλως καταγινόμενοι κρημνῷ τὸ ποίμνιον παραπέμπουσιν; οὐκ ἂν εἴπῃ τις νοῦν ἔχων τὸ δεύτερον· οἱ γὰρ τῶν ὀρέξεων ἐπικρατεῖς τε καὶ ἐγκρατεῖς βασιλικῶς τὸ ποίμνιον 535
ἄγουσι καὶ ποιμαίνουσι. τῷ τοι καὶ ὁ νῦν μέγιστος αὐτοκράτωρ καὶ βασιλεὺς πᾶσαν σχέσιν ἐκ ποδῶν ἀπέρριψεν ὑλικήν· ἔχει μέντοι καὶ οὗτος τὰ τῆς ἀνθρωπίνης φύσεως ἰδιώματα, καὶ κρύει καὶ παγετῷ καὶ χειμῶνι καὶ θέρει καὶ ἀέρι καταβαρύνεται· καὶ πάντα ἔχων ἃ τὴν 540
ἀνθρωπίνην φύσιν καθέλκουσιν, αὐτὸς ἀκμαῖος ὢν τῷ φρονήματι καὶ βασιλικῷ βρυχήματι ἀρετῆς *τοῖς πάθεσιν*

F **530 sqq.** cf. Niceph. Blemm. stat. reg. 2,9 = 46 Hung. – Ševč. πῶς οὖν τις ἐπιθυμίαις ἐκτόποις ἢ θυμοῖς ἀλόγοις περικλονούμενος βάσις ἂν εἴη λαοῦ; || **542–543** Mich. Psell. enc. matr. 1210 = 127 Crisc.

L **518** πραότης **D** || **520** πρᾶον] πρωϊνὸν **D** || **522** τριττῶς] περιττῶς **D** || **527** τούτο **A** || **539** post χειμῶνι] καὶ κρύει καὶ παγετῷ καὶ χειμῶνι iter. **A** || **542** τοῖς πάθεσιν **B**[c]

ἐμβριμώμενος, καταπαύει τὰς ἀτιθάσσους τούτων ὁρμάς. περιζωσάμενος γὰρ 'διάδημα βασιλείας' καὶ στρα-
545 τηγίας τὸ ὑψηλόν, μέσον πάλης εἰσέδυ πολυειδοῦς·
πρὸς ἔθνη πρὸς ἡδονὰς ἀνταγωνιζόμενος, οὗτος καὶ χρημάτων καὶ τυρβασμάτων, καὶ χλιδῆς βασιλικῆς καὶ τροφῶν καὶ τρυφῶν, καὶ σπατάλης καὶ κυνηγεσίων, καὶ μουσικῶν ἁρμονιῶν καὶ ἱπποδρομίων καὶ θεάτρων, καὶ
550 πομπῶν βασιλικῶν προελεύσεων, δορυφοριῶν βασιλικῶν βλακείας τῆς περιττῆς, καὶ πάντων ὧν πρὸς τῆς ἀρχῆς εὐμοιρεῖ τῇ σχέσει χαίρειν εἶπε βασιλικῶς. διὰ τοῦτο ταύτην καὶ ἐκ ποδῶν ἀπεκρούσατο. τίς καὶ γὰρ ὅλως ἐν τῷ στρατοπέδῳ ὑπὲρ τοῦτον ἀσιτίαν ὑπέμεινε πώποτε;
555 τίς διψήσας ἐνεκρατεύθη σωφρονήσας τὴν ὄρεξιν, ἵνα καὶ πάντες τοῦτον μιμήσονται; τίς πλειστάκις πλημμύραν ἱδρώτων ἐκ καρδίας ὑπὲρ τοῦ γένους ἐξέβλυσε; τίς τε κρύει καὶ παγετῷ ὡσαύτως ὑπαίθριος ἔδραμεν, ἵνα καὶ τοὺς περὶ αὐτὸν σώσῃ καὶ τοῦ κρύους καταφρονήσῃ
560 καὶ φυλάξῃ τὸ ποίμνιον; θέρει δὲ καὶ ἡλίου καύσωνι καὶ φλογὶ ἀστέκτῳ τε καὶ βρασμῷ τίς διημερεύων ὅλως ἐγκρατευθεὶς καὶ σωφρονισθείς, ὡς αὐτὸς ἄσιτος ἔμεινε; τίς ὕπνωσε βραχυτέρως; – τὸ δὲ 'παννύχιον εὕδειν'

F **544** Septuag. Is. 62,3 || **546 sqq.** cf. Isocr. ad Nicocl. 29 Agap. Diac. sched. reg. 18.68 = 36,15–16; 72,8–9 Ried. praeterea cf. Dion. Chrys. or. 1,21 = I 4,15–21 von Arn. Bas. Imp. exhort. cap. 24*.63 = PG CVII, XXXIII b 3–5; LIII b 11–13 = 58,15–17; 72,17–19 Emm. Theoph. Hephaest. Ochrid. inst. reg. = 195,1–3; 207,5 Gaut. Niceph. Blemm. stat. reg. 5,67 = 64 Hung.-Ševč. || **553 sqq.** cf. Dion. Chrys. or. 3,136 = I 55,27–56,2 von Arn. || **563–565** Hom. Il. II 24

L 551 ἀρχῆς] ἀρετῆς **A**^ac || 553 ταύτην post καὶ^1 transp. **D** || 555 σωφρονίσας *x* || 556 μιμήσωνται **B**^pc **C** || 559 σώσει **A**^ac | καταφρονήσει **B**^ac || **560** καὶ^3 om. **D**

ἀπώσατο, κατὰ τὸν φάμενον, οἷα τῷ ὄντι ‘βουληφόρος ἀνήρ’ –. τίς θυμὸν ὡς αὐτὸς ἐσωφρόνισε; τίς ἐπέσχεν 565
ἄκαιρον γέλωτα; τίς στάσιν ἐν κρίσει πανήμερον ὡς αὐτὸς ἐξετέλεσε; τίς ἐν καιρῷ ἀνδρείας πολέμῳ χρησιμευούσης, δειλίαν ὅλως τοῦ στρατοῦ ἀπεδίωξεν; ἢ τίς ἡδονὴν ἐχαλίνωσεν ὡς αὐτός; τίς ἄλλος τὴν καρδίαν σωφρονισθεὶς καὶ τὸ ζῆν ὡς οὐδὲν ὑπὲρ τῆς πατρίδος 570
ἡγήσατο; καὶ τὸ ἐξαίσιον, ὅτι πλειστάκις ἄνευ περικεφαλαίας θώρακος ἀσπίδος καὶ δόρατος, φάσγανον μόνον κατέχων ἐν τῇ χειρί, μέσον πλήθους πολεμίων εἰσήλασε. τίς δυσωδίαν καταγωγίου στρατηγικοῦ γενναίως ὑπέμεινεν ὡς αὐτός; – καίπερ βαρέως ἔχων πρὸς τοῦτο 575
ὁ ἀπαθής, καὶ ἐκ τούτου τοῦ μὴ δυσωδίας ἀνέχεσθαι τὸν ἔσω εἰλικρινέστατον δεικνύων ἄνθρωπον –. τίς δὲ κονιορτοῦ ἐν ἀνέμῳ θερινῷ συνεισφερομένου, ὡς αὐτὸς ὅλως οὐκ ἐδυσφόρησε; τίς ἕτερος σωφρονήσας τὴν ὄρεξιν ἡμέρας ὅλας εἰς πόλεων συγκλεισμοὺς ἄσιτος διετέ- 580
λεσε; τίς ἄλλος ἐν κρίσει *οὐκ ἔλαβε πρόσωπον,* ἀλλ’ ἐσωφρονίσθη τὴν ἡδονὴν καὶ τὴν ἀλήθειαν ἐξεβόησε; τίς δὲ νέους ὡς οὗτος ἐπαιδαγώγησε ψεύδους ἀπέχεσθαι, ἀφροσύνης μὴ ἅπτεσθαι, φόβον ἔχειν θεοῦ, ῥήματα μυσάττεσθαι βδελυρά, στέργειν θείαν *ὀρθὴν ὑπόληψιν,* 585
γλώττης κλεῖθρα ἔχειν, σύνεσιν καταστάσεως, ἀνδρείαν ὡς δεῖ, φρόνησιν ἐν βουλῇ, δικαιοσύνην ἐν ὑποφόροις,

F **565–566** cf. Bas. Imp. exhort. cap. 28 = PG CVII, XXXVI b 3 = 59,22–23 Emm. μηδὲ γέλωτα ἀκρατῆ στέργε || **581** ev. Luc. 20,21 Paul. ep. Gal. 2,6 || **585** ps.-Plat. def. 413 a 1

L **566** τίς om. **B**^ac^ spatio vacuo trium litterarum relicto ad recipiendam rubricam, **A** || **567 sq.** χρηστιμευούσης **C** || **580** πόλεων] πόλεμον **A**^ac^

M **567 sq.** f. χρησιμ(ευούσης) **C**

σωφροσύνην εἰς πᾶν ἀκρατὲς καὶ μισούμενον; τίς δὲ ἄλ-
λος στόμα θεοῦ ἐστιν, ἢ μόνος οὗτος; διὰ τοῦτο καὶ
590 χεὶρ κυρίου τὴν καρδίαν τούτου περιποιησαμένη βασιλι-
κὴν καὶ λίθου ἀδαμαντίνου στερροτέραν αὐτὴν ἀπετέ-
λεσε. δυοῖν καὶ γὰρ ἅπαξ ἑαυτὸν ἐσωφρόνησεν ὁ σο-
φός· τῷ ἀπέχεσθαι παντὸς μυσαττομένου παρὰ θεῷ καὶ
τῷ πόρρω πέμπειν πᾶσαν ἡδονῆς σχέσιν λυμαινομένην
595 τὸ τούτου ὑπήκοον. διὰ τοῦτο καὶ σώματος πλειστάκις
μὲν κατεφρόνησε, καὶ μέχρι δὲ τοῦδε καταφρονεῖ· κα-
ταφρονήσας δὲ τούτου καὶ σωφρονήσας πρῶτον τὰ αἰ-
σθητήρια, ἀεὶ ὑπὲρ τῶν ὁμοφύλων ὡς πατὴρ ἀληθέστα-
τος ἀγωνίζεται· τὸ μὲν δίψῃ καὶ πείνῃ καὶ παγετῷ καὶ
600 κρύει καὶ καύσωνι τὰ εἰς ὄφελος τῶν ὑπηκόων διαπαν-
τὸς ποριζόμενος, τὸ δὲ λόγοις εὐφυεστάτοις τῆς *μελιστα-
γοῦς* τούτου *γλώττης* καὶ καθαρᾶς παιδεύων αὐτοὺς τὰ
συνοίσοντα, καὶ πρέσβεις μὲν ἀντιθέσεσι καταστέλλων
καὶ τὰ ἔνδοθεν κεκρυμμένα πείθων τούτους ἀναφανδὸν
605 διὰ γλώττης προχέειν εἰς φανερόν, καὶ παντοίως,
ἁπλῶς ὡς εἰπεῖν, τὴν τοῦ ἀρχομένου συντήρησιν καὶ
ὠφέλειαν ἐν σπουδῇ παντοίᾳ πραγματευόμενος. ταῦτα
βλέπων θεός, τὰς ἐπικαρπίας καλλίστως βραβεύει τῷ
ἀθλητῇ. ἀλλ' εἶδον αὐτὸν ἐγώ ποτε καὶ ἡγουμένους δι-
610 δάσκοντα καὶ νομοδιδασκάλους πρὸς ἀρετὴν ῥυθμί-
ζοντα καὶ στηρίζοντα, καὶ ὅλον ἱερὸν σύλλογον κανονί-
ζοντα. διὰ ταῦτα πάντα *ἔλεον καὶ νόμον ἐπὶ γλώττης* οὗ-
τος *φορεῖ*. καὶ πάλιν ἐρῶ· διὰ ταῦτα πάντα καὶ τὰ πα-

F 601–602 Greg. Naz. carm. I 2,10,43 = PG XXXVII 684 a ‖ 612–613 Septuag. pr. 3,16 a

L 589 στόμα] σῶμα **A** ‖ 592 καὶ om. **D** ‖ 594 τῷ **B**[sl] ‖ 596 δὲ om. **D** ‖ 598 ἀεὶ] ἃ **A** ‖ 600 sq. διαπαντὸς] διὰ παντὸς **A** ἀεὶ **C** ‖ 601 εὐφυεστάτης **A** ‖ 608 ὁ ante θεός add. **D** ‖ 609 οἶδον **B**[ac] **A** ‖ 612–613 ἐπὶ γλώττης post οὗτος transp. **D**

ῥαπλήσια τούτοις ἅπασι πᾶσαν ἀρετὴν ἀπεκέρδησε.
φρονήσει καὶ γὰρ καὶ ἀνδρείᾳ καὶ δικαιοσύνῃ καὶ σω- 615
φροσύνῃ συζεύξας ζῆλον ἀλήθειαν καὶ πραότητα, ἅρμα
σεπτῶν ἀρετῶν ἐτελείωσε· κἀντεῦθεν ἐπιβὰς ἄνω
στέμμα λόγου φέρων ἐν κεφαλῇ καὶ διάδημα λιθοκόλ-
λητον πλείστων φυσικῶν ἀγαθῶν, Ἠλίας καὶ Παῦλος
εἶναι νομίζεται· τὸ μὲν ὡς τρίτον διαπεράσας οὐρανὸν 620
καὶ προσεγγίσας τῇ τριαδικῇ θεωρίᾳ καὶ ἀντλήσας ἐκεῖ-
θεν πᾶσαν βασιλικὴν ἀρετὴν ἀγαθωσύνην καὶ ἱλαρό-
τητα, τὸ δὲ ὥσπερ μηλωτὴν ἐν διπλαῖς χάρισιν εὐεργε-
σίας καὶ εὐμενείας τῷ ὑπηκόῳ ἄνωθεν χαριζόμενος.

12. Ἐγὼ δὲ ἄρτι δέδοικα μήποτε οἱ περὶ τὰς εὐεργε- 625
σίας τούτου τὰς δαψιλεῖς εἰθισμένοι καὶ τῶν ἐξ αὐτοῦ
δωρεῶν εὐμοιροῦντες, διαπαντὸς τῷ λόγῳ ἀπατηθῶσι
καὶ ὡς αὐτὴν τὴν πρᾶξιν τανῦν γινομένην νομίσωσι καὶ
βίᾳ καὶ πνιγμονῇ ἡμᾶς ἀποκτείνωσιν. ἡ γὰρ βασιλικω-
τάτη χεὶρ τοῦ ἐμοῦ αὐθέντου καὶ γενέτου καὶ ποδηγοῦ 630
χρυσορροάζει Νείλου τὰ χεύματα· ποταμηδὸν μὲν εὐερ-
γετοῦσα τοὺς πένητας, *ἐλαίῳ* δὲ καθαίρουσα τούτων *τὰ
τραύματα,* τούτου τῷ καθαρωτάτῳ ὕδατι τῆς εὐεργετι-
κῆς δυνάμεως ψυχαὶ πενήτων καὶ μὴ πενήτων κορέννυν-
ται. καὶ γὰρ οὐκ ἀνατέλλει τὸν τῆς εὐεργεσίας φω- 635

F **620–622** cf. Paul. ep. Cor. 2,12,2–4 || **623–624** cf. Septuag. reg. IV 2,8.13–14 || **631** Greg. Naz. or. 21,29 = 170,7 Moss.–Lafont. || **632–633** ev. Luc. 10,34 || **635–637** cf. ev. Matth. 5,45 τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους

L **615–616** καὶ σωφροσύνῃ om. **D** || **617** κἀκεῖθεν **D** || **622** ἀγαθοσύνην **A C**$^{ac\ prob}$ || **626** τὰς om. **D** || **627** διὰ παντὸς **AC** || **628** ὡς fort. delend. || **629** πνιγμονῇ] πνευμονῆ **A**^{ac} || **632** ἐλαίῳ] ἐλέῳ **D** | δὲ om. **A** || **633** καθαρωτάτῳ] καθαρῷ τούτῳ **D**

στῆρα ἐπὶ πένητας μόνον, ἀλλά γε πᾶσιν ὁμοῦ καὶ πένησι καὶ μὴ πένησι δωρεῖται τὸν ὑετόν. ὃς δὴ πλημμύραν φέρει ποταμηδὸν εὐεργεσίας καὶ χάριτος· στρέφεται χευματίζων, ἀνακρουνίζει πρὸς τὰς ψυχάς, ἄρδει τὰ
640 αἰσθητήρια καὶ τῷ ὑπηκόῳ τὰ χρειώδη ἐπιχορηγεῖ ἡλίῳ δὲ καὶ νυκτί, καὶ φωτὶ καὶ σκότει καὶ πάντοτε τὸ εὐεργετηματῶδες τούτου χάρισμα παρεκτείνεται. οὐκ εἶπέ ποτε τὸ 'ἐπάνηκε καὶ αὔριον' *λήψῃ τὴν αἴτησιν,* ἀλλὰ συνεχῶς τῷ δωρεῖσθαι συμπεριφέρεται θεοῦ μιμητής,
645 βασιλικωτάτη ψυχὴ καὶ θεῖον ὄντως εἰκόνισμα.

13. Δεῦρο δή μοι καὶ ἡ περὶ τὰς συμπαθείας τούτου φωνή. τίς εἶδεν οἷον καὶ φοβερὸν μιμεῖται οὗτος τὸν κτίσαντα, καὶ ἀντάρτῃ συγγνωμονεῖ, καὶ ἀνηκόῳ συμπαθεῖ, καὶ αὐτοχείρως ἐπιβούλοις οὓς ἐχειρώσατο συγχω-
650 ρεῖ τε καὶ προσπαθεῖ; καὶ γὰρ ὡς ἐν συλλήψει πάντων ἀφίησι τὰ ὀφλήματα, τῷ πρώτῳ πατρὶ καὶ θεῷ τοῦτ' αὐτὸ δῶρον ἀφοσιούμενος καὶ *θησαυρίζων ἐν οὐρανοῖς θησαυρούς,* ὅπου μείνουσιν ἀσινεῖς, διὰ ταῦτα πάντα 'λίθον ἀκρογωνιαῖον' στερρὸν ὁ Χριστὸς αὐτὸν ἐπὶ τὴν
655 Χριστώνυμον τούτου οἰκοδομὴν ἔθετο τὸν χαριτώνυμον καὶ θεόσοφον. ἀλλ' ἐρῶ τι καὶ καινότερον· οὗτος καὶ

H **648** ἀντάρτῃ συγγνωμονεῖ: fort. Andronicum et Isaacum Nestongos memorat, cf. Georg. Acrop. hist. 23 = I 36,16–37,25 Heisenb. – W.

F **643** Septuag. pr. 3,28 ‖ **652–653** ev. Matth. 6,20 ‖ **653–654** Septuag. Is. 28,16 ap. Petr. ep. 1,2,6

L **641 sq.** εὐεργετημῦτῶδες **D** ‖ **644** δωρεῖσθαι scripsi: δωρεῖται codd. ‖ **646** ἡ om. **D** ‖ **650** προσπαθεῖ] συμπαθεῖ **A**

P **636–637** cf. **3,138–139**

'μεσίτης θεοῦ'· ἐν γὰρ τῷ φιλίως πάντας τοῦτον ἀσπάζεσθαι, οἱ πάντες ἀνάγονται πρὸς θεόν. καὶ γὰρ οὗτος φίλος θεοῦ, οἱ δὲ φίλοι φίλου θεοῦ, φίλοι ὄντως θεοῦ. διὰ τοῦτο ὁ *ἐξ ἀναξίου ἐξάγων* τὸν ἄξιον, βασιλικὸν Χρι- 660 στοῦ *στόμα* ὄντως ἐστίν. οὗτος καὶ καθεκάστην ὑπὲρ τοῦ λαοῦ λατρείας φέρει τῷ κτίσαντι, ὡς εὐγνωμονεστάτη ψυχὴ ἀμιγὴς ῥυπασμῶν καὶ βασιλικὴ ὄντως διάνοια. ἀλλ' ὦ μέγιστε ἄναξ καὶ βασιλεῦ, λῦσόν μου τὸ τῆς γλώττης βραδύτατον σαῖς εὐχαῖς, ὁ θεόσοφος, ἵνα 665 μὴ τῶν σῶν ἐπαίνων τὰ κατορθώματα παραφθείρω τῷ ῥεμβομένῳ μοι νῷ. γηθοσύνως δὲ δέδεξο λόγον τουτονὶ τὸν ἐμὸν ὡς οἷα χρυσὸν *ἑπταπλασίως κεκαθαρμένον* τῷ ζωτικῷ τῆς ἐμῆς καρδίας πυρί, διότι καὶ ἐπὶ πέτραν τῆς σῆς δηλαδὴ ἀγάπης πρὸ τοῦ ἰδεῖν με *τὸν Ἑωσφόρον γεν-* 670 *νήσας* ἐστήριξας. ὤμοσας δὲ κἀντεῦθεν τοῦ ἀναβῆναί με εἰς ναὸν σὸν τὸν ἅγιον, καὶ πέποιθα θαρρικῶς ἐκπληρωθῆναι τὸ ὁρκωμόσιον. διὰ τοῦτο καὶ τὸ σὸν πατρικὸν ἐκσφράγισμα χαίρω καὶ ἀγαλλιῶμαι σῶν πολλῶν εὐχῶν εὐμοιρῶν. 675

14. Τίνα δὲ πανήγυριν στήσομαι; τίνας δαιτυμόνας καλέσω πρὸς εὐωχίαν ἐν τῷ τὸν γενέτην σε καὶ δεσπότην ἐμὸν ἐγκωμιάζειν καὶ πανδαισίαν προτιθέναι τοὺς βασιλικοὺς ἐπαίνους καὶ πατρικούς; οὐκ ἄλλως ἡγοῦμαι ἀξίους τῶν σῶν τεραστίων κατατρυφῆσαι γη- 680

F **657** Paul. ep. Tim. 1,2,5 || **660–661** Septuag. Ierem. 15,19 || **668** Septuag. ps. 11,7 || **670–671** Septuag. ps. 109,3

L **657** πάντας post τοῦτον transp. **C** || **658** τὸν ante θεόν add. **D** || **672** με om. **A** | σὸν om. **D** || **673** τὸ^2 post σὸν transp. **D** || **673 sq.** πατρικὸν] πν(ευματ)ικ(ὸν) **D** || **674** σῶν] τῶν **D** || **675** εὐμοιρῶν scripsi: -ροῦν codd. || **679** ἄλλους **C**

θοσύνως καὶ νοερῶς, 'εἴ τις αἴσθησις', ἢ μόνον τοὺς ἄνωθεν βασιλεῖς τε καὶ στρατηγούς. τούτους δὴ καὶ μετακαλέσομαι, ἵνα βασιλικὴν βασιλέως πανήγυριν συστησάμενος βασιλικῶς ἐκθειάσω τὸν ὑπερύψηλον.

685 Ἀλλὰ δεῦρο δὴ ἄναξ Ἑλλήνων Ἀλέξανδρε, ὃς δὴ πρώην βασιλείαν Ἑλλήνων τετίμηκας, ὁλόκληρον μὲν ταύτην ἀρχῆθεν παραλαβών, εἰς ἐπίδοσιν δὲ μεγάλην ὄντως ὕστερον ἀναγαγών. ἀλλ' ὅ γε τοῦ Χριστωνύμου λαοῦ βασιλεύς, ὑπὸ τῆς Λατινικῆς καὶ Περσικῆς καὶ 690 Βουλγαρικῆς καὶ Σκυθικῆς καὶ ἑτέρας *πολυαρχίας ἐθνικῆς* καὶ τυραννικῆς τὴν Αὐσονίτιδα γῆν μερισθεῖσαν μυριαχῶς, εἰς ἓν ταύτην συνήγαγε, καὶ τοὺς ἅρπαγας ἐμαστίγωσε καὶ τὸ λάχος τούτου ἐφύλαξε, καὶ δόρατί τε καὶ φασγάνῳ καὶ εὐβουλίᾳ καὶ ἀγχινοίᾳ τὸν ἀρχαῖον 695 ὅρον ἡμῶν ἀνήγειρε καὶ ἀνώρθωσε, καὶ τρόπαιον ἀρετῶν ἀνεστήσατο· καὶ εἰς ἓν τὸν ἀρχαῖον ὅρον διατετμημένον πρώην καὶ διεσπασμένον συναγαγὼν καὶ κύκλωσε στήλας ἀνδραγαθημάτων προθέμενος, ἄβατον τοῖς ὑπεναντίοις τὸ ἡμέτερον λάχος πεποίηκε. κἀντεῦθεν

H **691** τὴν Αὐσονίτιδα γῆν: vid. ad **84–85**

F **681** Greg. Naz. or. 4,3 = 88,1–2 Bern. et cf. Isocr. Euag. 2 εἴ τίς ἐστιν αἴσθησις τοῖς τετελευτηκόσιν περὶ τῶν ἐνθάδε γιγνομένων cf. etiam Isocr. Plataic. 61 Aegin. 42 Lycurg. in Leocr. 136 al. || **690–691** Eus. Caes. praep. ev. I 4,2 = 118,8–9 Sirin. – des Pl.

L **691 sq.** μυριαρχῶς **C** || **696** ἀνεστήσατο] ἐστ. **D** || **696 sq.** διατετμημένον] τετμ. **C** || **698** στείλας **B**[ac] | προθέμενος] περιθέμ. **D** || **699** ἡμέτερον] ὑμ. **A**

P **694–695** cf. **3,306–308**

τοῖς ἔξω προσχωρήσας καὶ νήσους πάσας ἐχειρώσατο 700
καὶ ἄστεα πάμπολλα, καὶ γῇ Ἀλαμανῶν τε καὶ Ἰταλῶν
Ἑλλήνων παῖδες συμμαχοῦντες κλεΐζονται, καὶ ἀπαν-
ταχῇ τὸ τούτου ὄνομα ἐξαγγέλλεται. τῇ γὰρ τοῦ κρα-
τοῦντος ἀρετῇ καὶ τῇ βασιλικῇ ἀνδρείᾳ καὶ χάριτι
πᾶσα ἐχθρῶν φάλαγξ μερίζεται, ἡ μὲν συμπεριφερο- 705
μένη τῷ βασιλικῷ καὶ θείῳ θελήματι, ἡ δὲ τῷ ὀλέθρῳ
διὰ τῆς βασιλικῆς ἐκστρατείας ἐπιδοθεῖσα Ἄιδου ζοφε-
ροῖς τόποις ἐμπερικλείεται.

Ἀλλὰ δεῦρο δὴ καὶ Καῖσαρ ὁ ἐνδοξότατος, ὁ ἐξ Ἰτα-
λῶν ὁρμημένος καὶ Ἰταλῶν ἄρχων καταστὰς εὐκλεέστα- 710
τος, ὁ μοναρχίᾳ τετιμημένος, ὁ ὑπέρλαμπρος δόμος ἐν
ἀρεταῖς, ἀριστείαις δὲ κεκοσμημένος καὶ ἁπλῶς τῶν ἐν
τῷ σῷ καιρῷ τε καὶ χρόνῳ ἀνθρώπων ὁ ὑπερέκεινα, ὅτι
τε καὶ πᾶσαν χθόνα ὡς κυριεύσας πάντων κατεπεκρά-
τησας, ὅτι δὲ καὶ εὐνομίαν ταῖς πόλεσι διὰ τὴν μοναρ- 715
χίαν εἰσήγαγες. ἀλλὰ τί τοῦτο; καὶ γὰρ πράγματος ἀκο-
λουθίᾳ καὶ χρόνου φιλοτιμίᾳ καὶ θεοῦ προστάξει, ἥτις
καὶ πάντων ἄλλων μείζων καθέστηκε, τῆς μοναρχίας
ηὐμοίρησας. δίκας καὶ γὰρ μέλλοντος δοῦναι τοῦ Ἰσ-
ραὴλ τῆς φρικωδεστάτης παρανομίας καὶ ἀλλαγῆναι 720
μελλόντων ἐντεῦθεν τῶν θείων συμβόλων εἰς καινοτέ-
ραν τινὰ ἀλλοίωσιν, οἰκονομικῶς θεϊκῶς σὺ προήρξω

H 700 νήσους π. ἐχειρώσατο: cf. Georg. Acrop. hist. 48 = I 86,1–88,14 Heisenb. – W. Niceph. Greg. hist. II 3 = I 28,23–29,4 Schop. – Bekk. || **701–702** societatem cum Friderico II Germanorum imperatore significat || **709** C. Iulius Caesar

L **700** τοῖς om. **A** || **702 sq.** ἀπανταχοῦ **C** || **706** καὶ om. **D** || **709** καὶ om. **D** || **710** ὡρμημένος **D** || **713** ὑπερεπέκεινα **A** || **721** μελλόντων post ἐντεῦθεν transp. **C**

τοῦ μοναρχεῖν· οἶδα δ' ὅμως τῷ τρόπῳ τούτῳ ἀνθρώ-
πων μόνων ὡς ἐπεκράτησας. ἀλλά τι καὶ καινότερον ἡ
725 τοῦ νῦν μεγίστου βασιλέως λέξαι πείθει με ἀρετή. εἰ
γὰρ ἐν ἐκείνῳ καιρῷ οὗτος ἔτυχεν εἶναι, καὶ αὐτῶν
ἐναερίων ἦρξε πνευμάτων ῥᾳδίως καὶ ἀπλανῶς συνερ-
γίᾳ τοῦ παμβασιλέως Χριστοῦ καὶ τῇ τούτου ἀνδρικῇ
ἐπιστήμῃ τῇ φοβερᾷ. ἐκ τῶν δευτέρων καὶ γάρ τις τὰ
730 πρῶτα κατανοεῖ. εἰ γὰρ νῦν εἰρηναίας οὔσης τῆς Χρι-
στωνύμου κλήσεως ἐν κόσμῳ τῷ σύμπαντι τοσαύτας
πράξεις Ἀρεϊκὰς ἐκτελέσας ἐστὶν ὁ βασιλεύς, ἃς ὁ λό-
γος ἄνωθεν διεσάφησεν, οἷον οὐκ ἂν – ἐν τῷ θείῳ καὶ
ἐκδικητικῷ καιρῷ τῷ σῷ τε καὶ πρώην εἴπερ ἦν – ἐτέ-
735 λεσε τερατούργημα;

Δεῦρο δὴ καὶ Κῦρος αὐτός, ἡ τοῦ χριστοῦ μου προσή-
μανσις – "εἴπατε, καὶ γάρ φησι, 'τῷ χριστῷ μου Κύ-
ρῳ'" –, καὶ τῇ σῇ πραότητι τῇ τοῦ βασιλέως τραπέζῃ
τῶν ἀρετῶν ἐν πραότητι ἑστιάθητι· καὶ εἰ πρώην δὲ λι-
740 τὸν βίον ἐξήσκησας, ἀλλὰ τανῦν βασιλικῶν ἀγαθῶν
ἀρετῶν πληθυσμοῦ κατατρύφησον. σὺ μὲν γὰρ καὶ Πέρ-
σην ἐτίμησας καὶ Μῆδον τούτῳ συνέζευξας καὶ Ἄρεος
ἔργα διεπράξω ἀληθινῶς· τανῦν δὲ ὁ βασιλεὺς Πέρσην
μὲν σπάθῃ κατετροπώσατο – καὶ μὴ τῷ λόγῳ τούτῳ
745 λύπην δέξῃ κατὰ ψυχὴν τῷ πάθει τοῦ ὁμοφύλου σου –,

H 736 Cyrus maior | χριστοῦ μου: Iohannes III Ducas Batatzes

F 737–738 Septuag. Is. 45,1 || 738 τῇ σῇ πραότητι: cf. Xen. Cyr. III 1,41

L 723 μοναρχεῖν] θεαρχεῖν C || 724 καὶ om. AD || 727 sq. συνεργεία A || 737 χρηστῷ BAC || 740–741 ἀγαθῶν post ἀρετῶν transp. C || 742 τοῦτον A[ac]

M 723 μοναρχεῖν C || 737 χριστῷ C

καὶ Ἰταλὸν συνεπόδισε καὶ Σκύθην ἀτίθασσόν τε καὶ ἀναιδῆ Ἑλλήνων σύμμαχον ἔδειξε, καὶ πᾶσαν ἄλλην φυλὴν ἕλκειν σπάθην ἐν χαρμονῇ ὑπὲρ τῶν ὁμοφύλων τούτου παρέπεισε. καὶ οὕτως ταῦτα διαπραξάμενος οὐ φέρει κόμπον κατὰ ψυχήν, ἀλλὰ τὴν πρώτην πραοτάτην 750 κεφαλὴν ἐκμιμούμενος πραέως *ἐν ὁδοῖς δικαιοσύνης* πορεύεται.

Δεῦρο καὶ ὁ τὴν καινοτάτην μὲν εἰκόνα καὶ πολυσύνθετον ἐν ὀνείροις κατιδών, ἑτέραν δὲ κατασκευάσας χρυσήλατον καὶ τιμήσας καὶ δογματίσας ἅπαντας ταύ- 755 την προσκυνεῖν. χαμαὶ δὴ ῥίψας τὸ σὸν ἄλογον φρόνημα, προσκύνησον εἰκόνα βασιλικὴν φρονήσεως μὲν ἔχουσαν κεφαλήν, ἀνδρικὴν δὲ καρδίαν καὶ σταθηρότητα, ὀσφῦν σωφροσύνης ἀληθινῆς καὶ πόδας *ἐν ὁδοῖς δικαιοσύνης* πορευομένους διαπαντός. ἣν καὶ γὰρ ἐσεβά- 760 ζου πάλαι καὶ τοὺς ἄλλους σέβεσθαι κατηνάγκαζες, ἀνενεργὴς ὅλως ἦν καὶ ἀναίσθητος· ἣν δὲ ὁ μέγιστος αὐτάναξ βασιλικὴν ἀρετῶν εἰκόνα πεποίηκε, θεία ἐστὶν ὄντως καὶ νοερά· διὰ τοῦτο καὶ *στεφάνῳ χαρίτων* ἐκ θεοῦ ἐστεφάνωται. 765

Δεῦρο δὴ Δημήτριε περιώνυμε, καὶ τοῖς τῶν σῶν πολιορκιῶν ὀργάνοις τε καὶ τεχνάσμασιν εἰς καινὸν ὕψος ἀνάβηθι. δεῦρο δὴ ὡς ἐν ἅρματι τεχνικῷ τούτοις προσεπιβὰς εὐκόλως ψαῦε βασιλικῆς ἀκροπόλεως, ἵν' ἐνθένδε

H **746** Σκύθην: Cumani, vid. ad **107 sqq.** || **753 sqq.** Nabuchodonosor || **766** Demetrius Poliorceta

F **751** Septuag. Tob. 1,3 Is. 33,15 ev. Matth. 21,32 || **753–756** cf. Septuag. Dan. 2,1–3,7 || **759–760** vid. ad **751** || **764** Septuag. pr. 1,9; 4,9

L **750** πραοτάτην] πραότητα A[ac] || **755** ἅπαντας om. D || **760** διὰ παντὸς A

770 σχοίης ἀπείρων πόλεων ἁλώσεις τε καὶ καθείρξεις. εἰ δὲ καὶ ἐν τῷ Ἅιδῃ δεήσει ὅλως πολιορκεῖν, ἐκ τῶν βασιλικῶν τεχνασμάτων ῥᾳδίως εὑρήσεις τὸ ἀποτέλεσμα.

Δεῦρο Ξέρξη καινότερε, καταρίθμησον τὸ στρατόπεδον, ἴδε νῦν τὰ τεράστια, γεφύρωσον θάλασσαν ἀνδρα-
775 γαθημάτων βασιλικῶν δι' ἀληθείας τε καὶ ὀρθῆς ὑπολήψεως, οὐ περιέργως δὲ καὶ ὑπούλως, ἵνα μὴ θραυσθῶσιν αἱ σαὶ καινότεραι τριήρεις ἐν ἀπεριέργῳ βασιλικῇ ἀνδρείᾳ καὶ χάριτι. ἐκμέτρησον τὸν στρατόν, ἀπαρίθμησον καὶ τὰ ἄστεα, ἴδε τὰς πόλεις, εἴσελθε εἰς τὰ ἔθνη,
780 ὧν νῦν ἡ θεία βασιλικὴ κατεκράτησε χείρ, λάβε γεωδεσίας δύναμιν ἀπλανῆ καὶ τὴν διάμετρον καὶ περίμετρον τῆς τῶν βασιλικῶν κατορθωμάτων χώρας κατάμαθε, καὶ τὴν αὐτομάτην νύκτα τὴν ἐθνικὴν βασιλικῷ κόπῳ καὶ μόχθῳ ἡμέραν ἴδῃς ἀντιστρόφως τοῖς σοῖς ἔργοις
785 καὶ ὑπερφυῶς· οὐχ *ἥλιος γὰρ ἀποκρύπτεται πληθύϊ τοξευμάτων,* ἀλλ' ἡλίῳ συνεκλάμπει τὰ τῆς βασιλικῆς ἀνδραγαθίας τερατουργήματα.

Δεῦρο δὴ καὶ σὺ 'μάκαρ' Ἀγάμεμνον, 'μοιριγενὲς ὀλβιόδαιμον', αἰδέσθητι τὴν τοῦ βασιλέως συντήρησιν

H 773 Xerxes I || **788** μοιριγενὲς in μοιρηγενὲς corrigere nolui (cf. Theognost. canon. = II 84,14–17 Cram. τὰ κατὰ τροπὴν τοῦ α ἐν τῇ συνθέσει ὀνόματα γινόμενα, διὰ τοῦ ο μικροῦ γράφονται … μοῖρα μοιρογενὴς καὶ μοιριγενὴς διὰ τοῦ ι)

F **773–774** cf. Herodot. VII 35 sqq.; 44 sqq. || **785–786** Herodot. VII 226 ps.-Plutarch. apophth. Lac. 225 b 6 Ioh. Stob. anthol. III 7,45 = III 321,5–8 W. – H. || **788–789** Hom. Il. III 182

L 775 τε om. **C** || **781** καὶ περίμετρον om. **A** || **786** συνεκλάμπη **B**[ac] **A** || **788** σοι **B A**

M **788** μοιρηγενὲς **C**

περὶ τὸ στρατόπεδον, ἀκλινὲς τὸ ὁμόφυλον φύλαξον, μὴ 790
πλανήσῃς τὸν Ὀδυσσέα, ἄνδρα πένητα καὶ κατειλεγμένον τῷ στρατιωτικῷ καταλόγῳ τῷ σῷ· καὶ γὰρ ὁ ἐμὸς βασιλεὺς ὑπὲρ σωτηρίας ἑνὸς στρατιώτου ἀνδρὸς ὁπλοφόρου ψυχὴν ἂν ὅλην ἔδωκεν ἐν καιρῷ. ἄθρησον τὴν Ἀχιλλῆος ἀνδραγαθίαν, Αἴαντος σταθηρότητα, Διομή- 795
δους ὀξυκινησίαν, τὸ ἔντεχνον Παλαμήδους, Νέστορος εὐλαλιστάτην γλῶτταν καὶ τὴν πολυμήτου Ὀδυσσέως ψυχήν, καὶ τὴν ἐμὴν βασιλικὴν κεφαλὴν καὶ ψυχὴν τὴν νῦν κοσμουμένην τῷ λόγῳ τούτῳ σεβάσθητι. πλέξον σὺν τούτοις στρατηγίας ἄριστον στέφανον καὶ βασιλικῶς τῷ 800
βασιλεῖ *ἆθλον* δὸς *ἀρετῆς*. λάβε τὰ δευτερεῖα, τίμησον τὸν δεσπότην, δράμε εἰς τὴν ἑστίαν καὶ ἐντρύφησον βασιλικῶν χαρίτων ἀνδραγαθήμασιν· οὐ μύθῳ τε καὶ ψεύδει τὴν ἀλήθειαν παρασύρουσιν, ἀλλ' ἀληθείᾳ καὶ ἐναργείᾳ χάριτος καὶ ἀνδρείας βασιλικῆς ἐκφαίνουσιν 805
ἐκτελέσματα.

Δεῦρο δὴ πᾶς βασιλέων ἀρίστων ἄλλος κατάλογος τῶν στρατηγίᾳ μὲν ἐκλαμψάντων, ἀρετῇ δὲ καὶ φρονήσει βιωσάντων βασιλικῶς, ἤτοι Βρούτοι καὶ Κάτωνες, Ἀντώνιοί τε καὶ Ἀννίβαι, Ἀδριανοὶ καὶ Τραϊανοί, Πομ- 810
πήϊοί τε καὶ Οὐρβίκιοι καὶ πᾶς ἄλλος βασιλικὸς χορὸς ἀνδραγαθίᾳ καὶ χάριτι κλεϊζόμενος, καὶ τῷ τοῦ ἡμῶν

H **811** Οὐρβίκιοι: Mauricius Rom. imperator

F **790–791** μὴ πλανήσῃς τὸν Ὀδυσσέα: cf. Hom. Il. II 110 sqq. || **792–794** cf. ev. Ioh. 10,11 ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων || **801** Septuag. Machab. IV 9,8

L **791 sq.** κατειλεγμένον scripsi: κατηλεγμένον codd. || **797** εὐλαβεστάτην **A** || **800** τῷ om. **C** || **802** ἐντρύφησον] τρύφ. **B**[ac]**D** || **804 sq.** ἐνεργείᾳ **D** || **805** ἀνδρεία **A** || **812** τῷ] τὸ **A**

ἀληθῶς βασιλέως δείπνῳ τῶν ἀρετῶν τρυφῆς διπλῆς
τρυφήσατε, τὴν μὲν χαρμονῆς ὑπάρχουσαν ὅλως μεστήν
815 – ἐκ τῶν βασιλικῶν καὶ περιφανῶν ἀνδραγαθημάτων καὶ
γὰρ τέρπεται πᾶσα θεία ψυχή, τὸ οἰκεῖον ἔργον καὶ ἐν
ἄλλοις βλέπουσα τοῦτο προσώποις πραττόμενον –, τὴν
δὲ τεχνικῶν ἐπιστημονικῶν τερατουργημάτων οὖσαν
ἀνάπλεων. ἣν δὴ τεχνικοῖς πρακτικοῖς ἀρίστοις ἔργοις ὁ
820 βασιλεὺς ἀπεξηκριβώσατο ἐν πλείσταις τε καὶ μεγί-
σταις πραγμάτων ἐπιφοραῖς, ὡς ἂν ἐπιστημονικωτέρως
ἐν τούτῳ διατεθῆτε πρὸς τὴν ψυχήν.

Δεῦρο Δαυὶδ ὁ πραότατος, Σολομὼν ὁ σοφώτατος· ὁ
μὲν ἵνα καὶ ἕτερον ἄνδρα ἴδῃς κατὰ τὴν καρδίαν θεοῦ,
825 ὁ δ' ἵνα θεάσῃ πρέσβεις ἐκ νότου καὶ ἐκ δυσμῶν, οὐ μὴν
ἀλλὰ καὶ αὐτοὺς βασιλεῖς ἐρχομένους τὴν τοῦ βασιλέως
σοφίαν καταμαθεῖν. τὰ γὰρ ἀμφότερα εἰς ἓν ἀγαγὼν
καὶ τῇ πραότητι σοφίαν περικαλλύνας καὶ ποικίλλας
πραότητα διὰ σοφίας ὁ βασιλεὺς εἰκονίζει τὸν πρῶτον
830 βασιλέα τὸν ὑπερύψηλον.

Δεῦρο δὴ καὶ σὺ ὁ ἡμέτερος βασιλεύς, ὁ μέγας
Κωνσταντῖνος ὁ ὑψηλός, ὁ τῆς πίστεως βασιλικὸς ὄντως
πρόβολος, ἡ μονὰς ἡ πρώτη τε καὶ βασιλική, ἐξ ἧς πλῆ-
θος ἀριθμῶν εὐσεβῶν βασιλέων ἐν κόσμῳ ἐξέλαμψε, καὶ
835 τὸν σὸν μιμητὴν καὶ ὁμότροπον βασιλέα ἡμῶν ἐκθεία-
σον. σὺ μὲν γὰρ ἄρχεις θεοσεβείας, οὗτος ⟨δὲ⟩ κρατύνει

F **824** cf. Septuag. reg. I 13,14 ‖ **825–827** cf. Septuag. reg. III 5,14; 10,24 ‖ **833–834** cf. Arist. metaph. I 986 a 20–21 τὸν δ' ἀριθμὸν ἐκ τοῦ ἑνός (sc. φαίνονται δὴ καὶ οὗτοι [= οἱ Πυθαγόρειοι] νομίζοντες ...)

L **813** ἀληθῶς post βασιλέως transp. **C** ‖ **819** ἀνάπλεον **A** ‖ **824** κατὰ] καὶ **C** ‖ **836** δὲ inserui

M **815** γνωμικόν **D**

τὸ εὐσεβεῖν· σὺ καθαιρεῖς εἰδώλων ἀρχὰς τοὺς ἱερεῖς
αὐτῶν καὶ μάντεις συσχὼν καὶ καταικίσας καὶ ἀφωνίᾳ
ὑποβαλών, οὗτος αἱρετικῶν ἀσεβείας ζιζάνιον ἐκ μέσου
τῶν Χριστωνύμων ἐξανασπᾷ καὶ δόγμα εὐσεβείας κα- 840
λῶς φυτευθὲν ἐξ ἀρχῆς ἐπιστημόνως φυτηκομεῖ· σὺ
θεσπίζεις συνόδους, οὗτος τὰ μὴ ἑδραῖα στηρίζει τῶν
ὀρθῶν δογμάτων καὶ ἀπλανῶν. ἀλλὰ σὺ μὲν ὡς μονὰς
βασιλική τε καὶ ἀγαθὴ τὸ πιστεύειν μόνον ὄντως ἐστή-
ριξας καὶ βάσιν στερρὰν τῷ λαῷ τὴν εὐσεβῆ πίστιν εἰ- 845
σήγαγες, οὗτος δὲ καὶ τὰ παρά σου θεσπιζόμενα δογ-
ματίζει ἔχειν τὸ ἀπαρέγκλιτον καὶ τὰ ἀσεβῶς ἔκ τινων
κινηθέντα ἢ κινούμενα καταθραύει, καὶ τὰ μὴ κινού-
μενα μέν, μέλλοντα δέ, ἐν λήθης βοθύνῳ καταθάπτει
καὶ ἀφανίζει τέλεον, καὶ παντοίως τὰ θεῖα στηρίζει τοῦ 850
θεοῦ δόγματα. διὸ καὶ δυὰς καθεστηκυῖα – σύν σοι τῇ
βασιλικῇ μονάδι ὁ βασιλεύς –, ἀρχὴ ἀρτίου καὶ ὁλοκλή-
ρου ἀριθμοῦ βασιλικοῦ ἐστι δυάς. διὰ τοῦτο καὶ πρὸς
τὰ τῆς ἐκκλησίας τοῦ Χριστοῦ ζιζάνια τὰ παρὰ τῶν ἀν-
τιπάλων σπειρόμενα, ὡς ‘Τόλμα’ μέσον τούτων ἐχώρησε 855
καὶ τὸ περιττὸν καὶ ἀχυρῶδες αὐτῶν τῷ κριτικῷ πυρὶ
τῶν πατέρων παρέδωκε. τὴν δὲ ἐκκλησίαν Χριστοῦ οὐκ
ἐν σεσαλευμένῳ καὶ νεαρῷ καὶ ἀνθοῦντι δόγματι ὅλως
ἡδραίωσεν, ἀλλ’ ἐν τῷ τοῦ Χριστοῦ ἀσείστῳ καὶ ἑδραίῳ
θεμελίῳ καὶ ἀπερικλονήτῳ ἐστήριξέ τε καὶ ἐπαγίωσεν ὁ 860

H **855** Τόλμα apud Pythagoreos nomen dyadis, cf. Plutarch. de Is. et Osir. 381f Anatol. ap. ps.-Iambl. theol. arithm. 2 = 7,19 De Falco – K.

F **837–839** cf. Eus. Caes. vit. Const. III 54,2–57,4 = 107,26–111,4 Wink.

L **840** δόγματα **A** || **841** δὲ post σὺ add. **C** || **846 sq.** δογματίζειν **A**

ὄντως βασιλεύς, καὶ ταῦτα οὕτως ἀπεργασάμενος, σὺν σοὶ τῇ τιμαλφεστάτῃ τῆς εὐσεβείας μονάδι τῇ θείᾳ τριάδι τὴν οἰκουμένην πᾶσαν δῶρον φέρει θεοπρεπῶς.

Ἀλλὰ δεῦρο καὶ τὸ τῶν Ἰουστινιανῶν ὄνομα, κατα-
865 σκόπησον τοὺς ναούς, ἴδε τὸ περικαλλὲς τῶν ἔνδον ἀγλαϊῶν, τὴν θέαν τῶν ἐν αὐτοῖς θαμβήθητι καὶ *σοφίαν μάθῃς* ὡς ἐναργῶς τῷ τοῦ βασιλέως περικαλλεῖ ναῷ ἐγχορεύουσάν τε καὶ διατρίβουσαν.

Δεῦρο καὶ σὺ Θεοδόσιε, ἴδε βασιλέα τιμῶντα τὸ τοῦ
870 Χριστοῦ βασίλειον ἱεράτευμα, γνῶθι μακροθυμίαν, ἴδε ὑπακοὴν καὶ αὐτὴν ὅλην τὴν τηλικαύτην κατασκόπησον κεφαλήν, οὐκ Ἀμβροσίου μόνου πόδας ἅπαξ φιλοῦσαν καὶ ἀμυδρῶς, ἀλλὰ καὶ πλειστάκις καὶ συνεχῶς καὶ σμικροτάτων ἐν βαθμῷ πρεσβυτικῷ πόδας ἀνδρῶν κατα-
875 σπαζομένην θεοφιλῶς.

Δεῦρο πᾶς ἄλλος ὁ *τοῦ περιουσίου λαοῦ* κατάρχων ἑσμός τε καὶ πληθυσμός, καὶ τῇ βασιλικῇ ἀρετῇ τὰς ὑμῶν παραφυάδας τῆς ἀμελείας ἐκτίλλατε ἐν σπουδῇ τῇ ταύτης χάριτι συνεργούμενοι. δεῖ καὶ γὰρ βασιλεῖς ἐκ βασι-
880 λέων σοφίζεσθαι ξύμπασι πράγμασι καὶ συνετίζειν πάντως βασιλεῖς βασιλέας ἑτέρους, καὶ στηρίζειν νόμῳ τοὺς νόμους καὶ λαμπρύνειν ἔργοις τὰ ἔργα, καὶ περικαλλύνειν

H **864** Iustinianus I || **869** Theodosius I || **872** cf. Sozomen. hist. eccl. VII 25,1–7 = 338,24–340,4 Bid. – Hans. Theodor. Cyrr. hist. eccl. V 18 = 307,13–313,20 Parm. – Scheidw.

F **866–867** Septuag. sap. 6,9 || **876** Septuag. ex. 19,5; 23,22 deut. 7,6; 14,2; 26,18 || **879–881** cf. Plat. resp. VII 540 a 5–b 6

L **871** κατασκόπησον] σκόπ. **C** || **872** ἅπαξ post φιλοῦσαν transp. **B**[ac] || **872–873** φιλοῦσαν post καὶ ἀμυδρῶς transp. **D** || **878** ἐκτίλατε **D**

τῇ αὐτῶν ἀρετῇ ἑτέρους ἐν ἀρεταῖς καὶ τέρπεσθαι τοῖς ἐκείνων ἔργοις τοῖς δυσκατορθώτοις ὡς ἀληθῶς. τιμὴ καὶ γὰρ τοῦ κατάρχοντος γινομένη καὶ συνισταμένη ἐξ 885 ἀρετῶν κλεΐζει πάντως τοὺς ἄρχοντας· τῶν ἀρχόντων δὲ τιμωμένων καὶ μεγαλυνομένων ἐν ἀρεταῖς πάντων πᾶς χορὸς ἀρχόντων καταγλαΐζεται.

15. Τῷ τοι καὶ ὑμεῖς ἀριστοκράτιστοι σήμερον βασιλεῖς τε καὶ ἀρχηγοί, τῆς καλῆς πανδαισίας κατατρυφή- 890 σατε τῆς βασιλικῆς τραπέζης τῆς ὑψηλῆς. ἀρετῶν καὶ γὰρ κτῆσις ἀνθεῖ περικύκλῳ αὐτῆς, τρέφουσα μὲν τοὺς πάντας ἐν ἀρεταῖς, ἀγλαΐζουσα δὲ μᾶλλον τοὺς ἐνδόξους καὶ βασιλεῖς. καὶ γὰρ ἀεὶ *τῷ ὁμοίῳ χαίρει τὸ ὅμοιον,* καὶ ὅπερ τις ἥδεταί τε καὶ τέρπεται καταλλήλως ἀντι- 895 δίδωσι τοῦτο φιλοτιμούμενος· οὕτω τῇ βασιλικῇ ταύτῃ πανδαισίᾳ οἶδα ὄντως ὡς κορεσθήσεται. διττὴ καὶ γὰρ καθέστηκε τροφὴ καὶ τρυφή, ὑλική τε καὶ νοερά· ἡ μὲν πρὸς κακίαν παρακινοῦσα τὸν τρυφῶντα διαπαντός, ἡ δ' ἄλλη πρὸς ἀρετὴν τὸν δαιτυμόνα ἐκτρέφουσα συν- 900 εχῶς. ἀλλὰ νῦν ἡ βασιλικὴ αὕτη τράπεζα, ἧς ὑμεῖς σήμερον τρυγᾶτε τὴν ἡδονήν, ἀρετῶν μεστὴ οὖσα βασιλικῶν πλησμίως διατρέφει τοὺς βασιλεῖς, οὐ τροφῆς ἡδο-

F **894** Apost. XII 68 = CPG II 559,8–9 et cf. Hom. Od. XVII 218 Plat. Gorg. 510 b 5–7 Arist. eth. Nicom. VIII 1155 a 32–34 eth. Eud. VII 1235 a 5–6; 1239 b 17–18 Porph. ad Marcell. 19 = 287,2 Nauck cf. etiam Septuag. Sirac. 13,15 || **897–901** cf. Bas. Imp. exhort. cap. 17 = PG CVII, XXIX b 8–14 = 55,12–16 Emm.

L **887** καὶ μεγαλυνομένων om. **A** || **889** ὑμεῖς] ἡμ. **C** || **898** καθέστηκε om. **D** || **899** διὰ παντὸς **AC** || **901** ὑμεῖς] ἡμ. **B**[ac] **A C**[ac prob]

P **894** cf. **8,127–128**

νὴν προξενοῦσα ὅλως ὑμῖν, ἀλλὰ περικαλλύνουσα τὰ
905 ὑμῶν αἰσθητήρια τῇ ποικιλίᾳ τῶν ἀρετῶν. πολλῷ πλέον
καὶ γὰρ ἀρίστη ψυχὴ ἐπευφραίνεται δοξαζομένης τῆς
ἀρετῆς, ἢ σαρκὸς παχύτης καὶ σχέσις ὑλικὴ ῥέπουσα
πρὸς τὰ βρώματα.

16. Οὕτω γοῦν γινομένης τῆς πανηγύρεως, θάμβους
910 πλησθέντες οἱ συνελθόντες βασιλεῖς τε καὶ ἀρχηγοί,
τῶν βασιλικῶν ἀρετῶν πλησμίως κατατρυφήσαντες τῷ
βασιλεῖ πρεπόντως ἀναβοήσατε· "*Ἤρθη* 'ἡ μεγαλοπρέ-
πειά σου ὑπεράνω' πάσης βασιλικῆς στρατηγικῆς ἀρχι-
κῆς κεφαλῆς, μέγιστε αὐτάναξ καὶ βασιλεῦ. καὶ γὰρ ὄν-
915 τως ἤθροισας τὰ καλά, καὶ γὰρ ὄντως μόνος ἤντλησας
τὰ θειότατα· κἀντεῦθεν οἷα δίσκος ἐμψυχωμένου ἡλίου
τὰ σεληνιαῖα σώματα τῶν βροτῶν πλουτίζεις τῷ φω-
τισμῷ. οὐδὲν γάρ, ὦ θειότατε, διέδραμεν ἐκφυγὸν τὴν
σὴν ἀγχίνοιαν τὴν ὑπὲρ ἄνθρωπον, ἀλλὰ πάντα μέρη
920 ἀθροίσας τῆς ἀρετῆς ἠγαλματώθης περικύκλῳ ὅλος
ὑπάρχων ἐν ἀρεταῖς, καὶ τὰ σὰ κατορθώματα λειμὼν
ὡραῖος τοῖς ἔμφροσι καθεστήκασιν, οὐ κρίνων καὶ βαλ-
σάμων καὶ πάντων εὐόσμων ἄλλων φέρων τὴν ἡδονὴν
λυομένων καὶ χεομένων, ἀλλ' εὐωδίαν ἀρωματίζων ψυ-

F **912–913** Septuag. ps. 8,2 || **917** cf. Theophil. Antioch. ad Autolyc. II 15 = 138,8–9 Bardy ὁ γὰρ ἥλιος ἐν τύπῳ θεοῦ ἐστιν, ἡ δὲ σελήνη ἀνθρώπου

L **907** ἡ ante ῥέπουσα add. **C** || **913 sq.** ἀρχικῆς om. **A** || **914** αὐτάναξ] ἄναξ **A** || **915** ὄντως post μόνος transp. **C** || **916** ἐμψυχομένου **BAC** || **918** ἐκφυγὼν **A**[ac] || **919** ἀνθρώπων **C** || **920** ὅλως **A**[ac]

M **906** γνωμικόν **D**

χῆς· κἀντεῦθεν ὅλος οἷα καταστιλβωθεὶς περισύρεις, 925
ὥσπερ κόσμος πολύτιμος ἀρετῶν, πάντων ὄντως τὸ ὀ-
πτικὸν ὑπὲρ μαργάρου στιλπνότητα καὶ λευκότητα. τῇ
δὲ διαυγείᾳ τῶν περιφανῶν κατορθωμάτων σου, ἄριστε,
καὶ λυχνίτου λίθου τὸ εὔχρουν ὑπερνικᾷς· ὑπὲρ *χρυσίον*
ὀφὰτζ τὴν σὴν καρδίαν καὶ γὰρ θεὸς ἀληθινὸς κατελάμ- 930
πρυνε, διότι καὶ ἀειθαλὴς ὅλος ὑπάρχεις ἐν ἀρεταῖς, ἢ
χλοάζων ὡς σμάραγδος· κόπῳ γὰρ μίξας τὴν ἀρετήν,
ἀνδρείαν τε καὶ φρόνησιν καὶ δικαιοσύνην καὶ σωφρο-
σύνην καταλλήλως ἀλλήλαις συγκερασάμενος, κατὰ
πάντων φέρεις τὰ νικητήρια· ὅθεν ἕλκων τὴν ἀρετὴν 935
μᾶλλον ἕλκεις τὸν κλεϊσμόν. ὅσον δέ γε ὡς φωτὸς
λύχνος ἤτοι τῆς ἀρετῆς φαίνῃς τὴν τοῦ σύμπαντος
διαρτίαν, μᾶλλον ὥσπερ ἀστέρος φαῦσις καὶ φωσφόρου
λαμπὰς ἡ σὴ ἀρετὴ κόσμου λάμπει τοῖς πέρασι. διὰ
τοῦτο πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι τῷ φοβερῷ". 940
ταῦτα ἡμῶν λεγόντων καὶ αἰνούντων τὸν ὑπερύψηλον,
καὶ πᾶσα ψυχὴ εἰς αὐτὸν ἐκκρεμὴς ἤτω καὶ τῆς αὐτοῦ
ἀρετῆς ἀναπόσπαστος.

17. Ἀλλ' ὦ θειότατε βασιλεῦ, εἰ καὶ μὴ πρὸς τὸ σὸν
ὕψος τῆς ἀρετῆς ὁ νῦν λόγος ἀνῆλθε ταχυδρομῶν τὸ 945
μὲν διὰ τὸ πλῆθος τῶν κατορθωμάτων τῶν σῶν, τὸ δὲ

F **925–927** cf. Niceph. Blemm. stat. reg. 7,110 = 78,2–3 Hung. – Ševč. πάντας γὰρ ἐπιστρέφει πρὸς ἑαυτόν || **929–930** Septuag. cant. 5,11 || **932–934** cf. Iulian. ep. 10,404 a = I[2] 17,11 Bid. μῖξαι γὰρ πραότητα καὶ σωφροσύνην ἀνδρείᾳ καὶ ῥώμῃ ... || **940** cf. Septuag. ps. 99,1 ἀλαλάξατε τῷ κυρίῳ, πᾶσα ἡ γῆ

L **929** καὶ γὰρ post χρυσίον add. **C** || **930** ὀφὰτζ] ὁ φὰτζ **C** ὀ-σφὰτζ **D**, an ὃ φὰτζ scribend.? || **931–990** ἀειθαλὴς ~ τὸν ἅπαντα propter foliorum defectum desunt in **B** || **931** ὅλως **A** | ὑπάρχει **D** || **932** μάραγδος **A** || **937** φαίνεις **D**

καὶ διὰ τὴν φυσικὴν οἰκείαν ἀσθένειαν, μὴ πρὸς τοῦτον
διατεθῇς ὅλως ἀπροσπαθῶς· καὶ γὰρ ἡ προθυμία μᾶλ-
λον στερχθήσεται ἤπερ ἡ δύναμις. ἐγὼ δὲ πόθῳ καὶ
950 κέντρῳ φιλίας δουλοσύνου καὶ υἱικῆς βιασθεὶς οὐκ
ἔκρινα ἀγαθὸν τὸ μὴ τῶν σῶν κατορθωμάτων τὴν γνῶ-
σιν τοῖς πολλοῖς εἰσηγήσασθαι· εἰ δὲ καὶ συντετμημένως
τοῦτο πεποίηκα, ἀλλ' οὖν οἶδ' ὅτι ποθεινόν σοι τοῦτο
φανήσεται. *οἶμαι* γὰρ ὅτι *οὐδ' αὐτὸν τὸν* ὅλον ἐγκόσμιον
955 *κόσμον ἐχώρησε* τῶν σῶν κατορθωμάτων ἡ ἀπαρίθμη-
σις· ἀλλ' ὡς *ἐκ κάδδου σταγόνα* δέδεξο νῦν τὸ σμικρότα-
τον τοῦτο γραμμάτιον. τεθάρρηκα γὰρ ὅτι τὰ ἐν αὐτῷ
δηλούμενα παρ' ἡμῶν καὶ ποθήσεις καὶ τὸ ἀρεστόν σοι
ἐν τούτοις πᾶσι γενήσεται. ἀλλὰ καὶ νῦν τῇ σῇ βασιλικῇ
960 ὑψηλῇ διανοίᾳ ὡς ἔθος ἐμὲ παίδευσον ὁ θεόσοφος, καὶ
τὸν παρόντα γόνον ἐμόν, τὸν λόγον τοῦτον, νουθέτησον
ῥύθμισον σύνταξον εἰς εἱρμόν, καὶ χαριεστάτως πρὸς
τοῦτον ἴδε, βασιλικώτατε. καὶ γὰρ δεῖ προσφέρειν τοῖς
βασιλεῦσι τὰς ἀπαρχάς· μεγίστου βασιλέως τοῦτο θέ-
965 σπισμα καὶ παράγγελμα. τί δ' ἄν σοι προσάξομεν ἑτέ-
ραν ἀπαρχὴν καὶ δεκάτωσιν, ἢ λόγον ὅλον γέννημα τοῦ
νοός; ἀλλὰ καὶ *τὴν μαγικὴν* τανῦν σοι *δωροφορίαν* προσ-

F **954–955** ev. Ioh. 21,25 ‖ **956** Septuag. Is. 40,15 ‖ **956–957** cf. Georg. Pis. in Heracl. ex Afr. redeunt. 75 = 80 Pert. δέχου τὰ μικρά ‖ **961** cf. Synes. ep. 1 = 3,1 Garz. παῖδας ἐγὼ λόγους ἐγεννησάμην ‖ **963–965** cf. Septuag. Lev. 2,12 Sirac. 7,31 ‖ **967** Isid. Pel. ep. I 18 = PG LXXVIII 193 b 1

L **956** ἐκ κάδδου] ἐκάδδου **AC** ‖ **956–957** τὸ σμικρότατον om. **D** ‖ **964** βασιλέως post τοῦτο transp. **D** ‖ **965** καὶ παράγγελμα om. **A** ‖ **966** γεννήματα **A** ‖ **967** μαγιστὴν **C** | δορυφορίαν **A** ‖ **967 sq.** προσάγωμεν **A**

M **967 f.** μεγίστην **C**

ἄγομεν τὸ τριμερὲς γέννημα τοῦ νοός· ὡς ὀξυτάτῳ τε
καὶ ὑψίνῳ τὸ πρῶτον δὴ τὸ φανταστικόν, τὸ μέσον τὸ
διανοητικὸν ὡς διανοημάτων ἐνθέων πηγῇ, τὸ ὕστατον 970
τὸ μνημονευτικὸν ὡς ἀγαθοῖς μνήμονι καὶ ἀμνησικάκῳ
καὶ ἀγαθοεργάτῃ ἐμμόνῳ ἐν ἀρεταῖς. οὕτω δὴ τὸ πᾶν
νοερὸν ἀθροίσαντες ὅλον νοῦν σοι προσάγομεν, ὅλον
λόγον, ὅλην ψυχὴν σῶμά τε καὶ διάνοιαν, καρδίαν καὶ
προαίρεσιν, καὶ εἴ τι ἄλλο ψυχικόν τε καὶ σωματικὸν ἐν 975
τῷ τῆς σῆς ἀσφαλείας λιμένι τῷ σωστικῷ θαρροῦντες
ἐλλιμενίζομεν. κἀντεῦθεν οἶδα σαφῶς τὰ δωρήματα σὺ
παρέξεις μοι· βίου διόρθωσιν, ἀγάπης πλείστην ἐπίδο-
σιν, παιδαγωγίας ἀκριβεστάτην ἀναγωγήν, καὶ τὸ μέγα
καὶ ὑπερέκεινα εὐχὴν θεϊκήν τε καὶ πατρικήν. θεοῦ καὶ 980
γὰρ οἱ σοὶ λόγοι ἐμοὶ καθεστήκασιν. οὕτω γοῦν τῆς σῆς
βασιλικῆς πρός με οὔσης πατρικῆς θεϊκῆς διδαχῆς, θεὸς
δώῃ σοι τὴν ἀντίχαριν, ὦ μέγιστε θεῖε καὶ ὑπερύψηλε,
ὡς φίλος φίλῳ, ὡς μέγιστος δεσπότης τῷ γνησίῳ δούλῳ
καὶ γόνῳ αὐτοῦ. σὺ τῇ 'τοῦ τρισηλίου φωτὸς' λαμπηδόνι 985
περιθαλφθεὶς ἀστράψῃς τὸ πρόσωπον ὑπὲρ ἥλιον, ἐξ οὗ
καὶ ἐνσάρκων καὶ ἀσάρκων ἑσμὸς ἐχθρῶν συμφλεχθή-
σεται. σὺ δὲ ἐς ἀεὶ νικηφόρος ἀναφανήσῃ, Χριστοῦ
χειρὶ ἐστεμμένος ταῖς ἀρεταῖς, πνεύματος συνεργείᾳ καὶ
πατρικῇ εὐδοκίᾳ εἰς αἰῶνα τὸν ἅπαντα. 990

F **968 sqq.** cf. Arist. de an. II 413 b 13; 414 a 32; III 427 b 14 sqq.; 432 a 31 praeterea cf. Plotin. enn. IV 3,29; V 3,6,20 || **971** μνήμονι: cf. Themist. or. 3,46 a = I 65,8–9 Down. βασιλεὺς ... σώφρων, μνήμων; 8,105 b = I 160,1 Down. βασιλέα ... μεγαλοπρεπῆ, μνήμονα || **985** ps.-Athan. Al. comm. essent. 49 = PG XXVIII 76 b 2–3

L **970** ἐνθέων post πηγῇ transp. **A** || **973** τὸν ante νοῦν add. **D** || **975** οὐ post καὶ² add. **A** || **981** γοῦν] οὖν **C** || **983** ἀντίδωσιν **A** || **986** ἀστράψεις **D**

M **969** ὑψίστῳ **C**

3
IN LAVDEM VRBIS NICAEAE

Nicaea urbs magnum gaudium animis implicat, non solum propter amoenitatem locorum atque moenium turrium aedificiorumque pulchritudinem, sed praesertim propter civium doctrinam humanitatemque. urbs enim tum ceteras urbes superat, cum litteris scientiaque illas omnes praecedit. Nicaea vero magnificentiam et splendorem suum ex incolis haurit: cum isti omni scientia sint praediti, ex iis maximum decus sumit illa; qua de re Athenas ipsas Nicaea vincit. nam Atheniensium doctrina culmen non attigit summum, cum, creatore neglecto, haud prospere ei evenisset; Nicaeenses contra se philosophia bis exornant: tum ex saecularibus litteris, tum ex divinis, quae illas omnino superant. deinde aedificia templa coenobia sata et aquarum copia laudantur. porro autem Romanorum imperium, ab hostibus concussum atque misere fractum, in Nicaenam urbem tantum se recipere potuit; at nunc vires recollegit, ducibus primo Theodoro (I) Lascari, nunc vero nobilissimo (Iohanne III) Duca (Batatze), qui fines maxime auxit. hac oratione gratias Nicaeae agere scriptori propositum fuit, cum illa urbs, ut nutrix benigna, ei benivolentiam ac favorem semper praestitisset.

Victoria quaedam ex hostibus parta ansam ad hoc opusculum conscribendum dedisse videtur, ut ex ll. 354–357 et 373–375 conicere licet.

Τοῦ αὐτοῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι
ἐγκώμιον
εἰς τὴν μεγαλόπολιν Νίκαιαν

1. Ἄνδρες ὦ Νικαεῖς, ἡ περιφανεστάτη πόλις ὑμῶν ἐξ
αὐτῆς καὶ μόνης τῆς ὄψεως ἐμποιεῖ πολὺ τῇ λογικῇ 5
ψυχῇ τὸ τερψίθυμον· ἔκ τε τῆς περικύκλωσε τοῦ ἔνδον
χώρου καλοτειχίας, ἔκ τε τοῦ ἀξιολόγου μεγέθους ταύ-
της καὶ ἰσορρόπου, ἔκ τε τῆς θέσεως, ἔκ τε τῶν θριγγω-
μάτων, τῶν πυργωμάτων, τοῦ τῶν ἀμφοτέρων ὑψώμα-
τος, τῆς περιφανεστάτης ὕλης καὶ ἐξαιρέτου τῆς οἰκο- 10
δομῆς, τῆς κατασκευῆς καὶ ἐντέχνου μεθόδου τῆς αὐτῆς
σπαρτιάσεως, ἔκ τε τῶν ἔνδοθεν, ἔκ τε τῶν ἔξωθεν, τῶν
ἰδίων, τῶν οὐσιωδῶν, τῶν ἐπουσιωδῶν, τῶν ἐκ τῆς τοῦ
τόπου καλοκἀγαθίας συρρεόντων καθεκάστην πάντων
τῶν ἀγαθῶν, καὶ ἐξ ὑμῶν, ὦ σεμνοὶ ἄνδρες τὴν κοσμιό- 15
τητα καὶ κατ' ἦθος λογικὴν παιδείαν ἀσύγκριτον. τότε
καὶ γάρ ἐστι πόλις πόλεων καὶ βασιλὶς βασιλίδων καὶ
ἄρχων ἀρχόντων καὶ ὑπερέχων ὑπερεχομένων καὶ κα-
ταλλήλως θάτερον θατέρου ἐξαίρετον τῇ τιμῇ, ὁπόταν
ὑπερβαίνῃ τῇ λογικότητι. ὅτι μὲν γὰρ πολλαὶ πόλεις 20
βρίθουσαι χαρισμάτων ὀλβιότητι παμπληθῶς, καὶ κο-
σμούμεναι μύρων πολυτελείᾳ, καὶ ταῖς ἐκ γύρωθεν καλ-
λωπιζόμεναι τῶν ὧν ἔτυχον τυχικῶς ἐπιδόσεων τόπου,
καὶ ταῖς ἐκ πλοίων ποικίλαις συνεισφοραῖς τὰς ἀρχοντι-

F 13 τῶν οὐσιωδῶν, τῶν ἐπουσιωδῶν: cf. Leont. Byz. c. Nest. et Eut. = PG LXXXVI[1] 1277 d 7 Max. Conf. opusc. theol. = PG XCI 261 b 5

L ab initio usque ad 224 deest **B** || **1** τοῦ αὐτοῦ om. **D** | λασκάρεως **D** || **6** περὶ κύκλωσε **C** περικυκλώσεως **A** || **11** τῆς ante ἐντέχνου add. **D** || **12** ἔκ τε[2]] καὶ τῶν **A** || **14** (et **87**) καθ' ἑκάστην **D** || **18 sq.** καταλλήλων **A**[ac] || **23** τόπον **C**

25 κὰς συνεισφορὰς βρύουσαι, ἀληθὲς ὁμοῦ τε καὶ πρόδηλον· οἷον δὲ τούτων τὸ κλέος, τὸ περιλάλητον πανταχόσε κηρύκευμα, εἴπερ λογικότης ἐν ταύταις οὐκ ἐγχορεύει καὶ Μοῦσαι λόγου οὐκ ὠθοῦσι χορδὴν εὐρυθμίας καὶ εὐταξίας, καὶ μαθημάτων τε καὶ παιδείας οὐκ ἐγχο-
30 ρεύει ἐν ταύταις μεγαλοπρέπεια; καλὴ μὲν οὖν ἐστι καὶ Βαβυλὼν καὶ αἱ τῇ Ἰνδικῇ χθονὶ πόλεις περικείμεναι· μύρα γὰρ ἐν ταύταις εὐπόριστά τε καὶ ἀγλαά, ὀλβιότης ἐκ χρυσοῦ καὶ μαργάρου πολλὴ καὶ περιφανής, τροφῶν ποικιλίαι, σπατάλης ἐφευρετὸς ἀφορμή, ἀκρασία ἐκ τῆς
35 τροφῆς καὶ εἴ τι ἄλλο πόρρω λόγου ἔχον τὴν οἴκησιν. ἐπειδὴ γὰρ τὸν περιεκτικὸν τοῦτον δὴ κόσμον ὁ 'μικρὸς κόσμος' κοσμεῖ καὶ τῇ ἐκ τούτου ἐξερχομένῃ γνώσει καὶ λογιότητι πάντα ῥυθμίζεται καὶ στηρίζεται, ἐν ταύτῃ δὲ τὰ μὲν μύρα καὶ ἃ προείπομεν βρίθουσι παμπληθῶς,
40 λόγος δὲ οὐκ ἀνθεῖ καὶ παιδεία οὐκ ἐγχορεύει καὶ φιλοσοφία οὐ περιέχει, συμβαίνει νεκρὰν εἶναι αὐτήν. ἃ δὲ μύρα καὶ πλοῦτον, ὡς εἴπομεν, κέκτηται, μυριπνοοῦσι πόλιν νεκρὰν καὶ κοσμοῦσι θριγγώματα ἄκοσμα· κόσμος καὶ γὰρ πόλεως οὐδέν ἐστιν ἕτερον, ἢ ἄνδρες σεμνοπρε-
45 πεῖς, λόγῳ καλλωπιζόμενοι καὶ ἐπιστήμῃ φιλοσοφίας

F **26** cf. Petr. ep. 1,2,20 ποῖον γὰρ κλέος εἰ ...; || **36–37** Phil. Al. de post. Cain 58 = 78 Arn. quis rer. div. heres 155 = 240–242 Harl al. Meth. Ol. resurr. II 10,2 = 350,9 sqq. Bonw. Greg. Naz. or. 28,22 = 148,39–40 Gall.-Jour.; 38,11 = 124,13 Mor.-Gall. Cosm. Ind. topogr. Chr. V 254 = II 371,4–5 Wolsk. Con. Ioh. Dam. exp. fid. 26,84–85 = II 79 Kott. de duab. in Chr. vol. 15,1 = IV 198 Kott.

L **26** καὶ ante τὸ^2 add. **D** || **28** λόγον **C** | ὠθοῦσι Bachm.: ὠδοῦσι **A** *x* || **34** τῆς om. **A** || **37** τοῦ ante τούτου add. **A** || **41** αὐτήν] ταύτην **D**

καὶ ἑαυτοὺς καὶ τὴν πόλιν καλλωπίζοντες καὶ δοξάζοντες.

2. Τοίνυν οὖν ἡ νῦν σήμερον Νικαέων πόλις ὑμῶν, κοσμουμένη τῷ λόγῳ τούτῳ τοῦ φιλοπόλιδος τῆς ὑμῶν πόλεως, ἄνδρες σεμνοπρεπεῖς, τῷ ἐρυθρῷ τῆς μεγαλο- 50 πρεπείας καὶ ἀληθείας καταστέφει τὰς ὑμῶν κεφαλάς. ὑψουμένη γὰρ αὕτη μεγαλύνει ὑμᾶς ἀληθῶς, ἐξιστορουμένη σεμνοπρεπεστέρους ὑμᾶς ἀπεργάζεται· τὸ μέντοι γε ὅτι τῶν ἔξωθεν τὰ ἔνδον ἀεὶ ἐνδοξότερα, τὸ δ' ὅτι γε ὥσπερ ἀριπρεπὲς περιβόλαιον αὕτη τῷ λόγῳ τούτῳ 55 ἱστουργουμένη, πολλαχῶς καλλωπίζει ὑμᾶς καὶ σεμνοτέρους ἐργάζεται καὶ περιφανεστέρους ποιεῖ, καὶ ἐξ ὑμῶν ὡς ἀληθῶς ἔχουσα τὴν ὀλβιότητα ἀντιστρέφει περιφανεστέραν τὴν φυλακήν, ὡς τέκνα κατέχουσα καὶ ἀγλαΐζουσα ὑμᾶς ἀγαθῶς, τοὺς ἐξ ὧν λαμβάνει τὴν 60 ὕπαρξιν, καὶ ὥσπερ ἔμψυχα φέρουσα τὰ πυργώματα καὶ ἐν ζωῇ τὰ περιτειχίσματα, καὶ ὅλη αὕτη λόγου γνῶσιν πλουτοῦσα καὶ μητρικὸν σέμνωμα ἔχουσα πρὸς ὑμᾶς ἐκπέμπει τὸ ἀγαθόν. τῷ τοί γε καὶ ἀντιστρεφομένης ἐξ ὑμῶν εὐμοιροῦσα τῆς σεμνοπρεπείας, πόλις ὑπάρχει 65 πόλεων, ὡς ἔχουσα τοὺς ἔνδοθεν διατρίβοντας περιφανεῖς ἐκ λόγου, ἢ ἐκ χρημάτων καὶ πλείστης δορυφορίας. ἐγὼ δὲ καὶ νοῦν θεῖον εἴπω τὴν πόλιν, τοὺς ἀγαθοὺς ὑμᾶς πολιστὰς ἔχοντα ὥσπερ τινὰ διανοήματα εὐγενῆ·

F **68** νοῦν θεῖον: cf. Liban. or. 11,181 = I² 498,15–16 Först. τὸ δὲ χρῆμα τῶν λόγων, ὃ νοῦν πόλεως ἄξιον προσειπεῖν...

L **46** καλλοπίζοντες **A** ‖ **48** σήμερον bis scr. **D** ‖ **50–51** τῷ ἐρυθρῷ ~ ἀληθείας om. **A** ‖ **52** ὑμᾶς om. **D** ‖ **54** τὰ] τῶ **A** ‖ **68** νοῦν] νῦν **A**^{ac}

M **69** f. πολίτας **C**

70 ἀντιβαλλόμενα πρακτικῶς καὶ θεωρίᾳ μιγνύοντα πρᾶξιν
καὶ βαθμίδας λόγου ἐν βαδίσματι καθαρῷ ἐπιβαίνοντα,
καὶ ὁλοκλήρως ἐκ λογικῆς ἰσχύος αὐτὰ ἑαυτὰ κο-
σμοῦντα καὶ τὸν οἰκεῖον οἱονεὶ νοῦν τὴν πόλιν περιτειχί-
ζοντα, περιφανεστέραν ἐργάζονται τοῦ Μηδικοῦ πλού-
75 του καὶ τῆς *χρυσῆς* καθ' Ὅμηρον *σειρᾶς* τε καὶ *οὐρανίας*.
οὕτω δὴ ἡ ὑμῶν πόλις βασιλὶς ὑπάρχουσα πόλεων καὶ
ὥσπερ, τὶς εἴπῃ, τὶς νοῦς ὑμᾶς τοὺς τροφίμους ταύτης
περιτειχίζουσα, ἀγλαώτερον ἔχει τὸν ἦχον καὶ περιφα-
νέστερον τὸ ἐξάκουσμα, καὶ σεμνύνεται σεμνυνομένη
80 καὶ στηρίζει στηριζομένη, εἰ καί τις ὑπάρχει ταύτῃ ἀντί-
παλος, καὶ ὑμᾶς ἐλλιμενίζει τῇ ἑδραιότητι. τότε καὶ γὰρ
σῶμα λάβῃ τὸ ἀκλινές, ὁπόταν τῶν μερῶν τε καὶ τῶν
μελῶν εὐμοιρήσῃ τῶν ὑλικῶν ὀργάνων ἀρίστῃ τῇ πρώτῃ
συμπήξει τῆς εὐρυθμίας· καὶ πόλις τὰ οἰκεῖα μέλη τοὺς
85 ἐγχωρίους ἀνέρας βλέπουσα λογιότητι κοσμουμένους,
εἰδοποιεῖται καὶ ἀγλαῶς καλλωπίζεται τὸ εὔρυθμον.
λόγου γὰρ ἔνδοθεν ἔχουσα μαργαρίτας, καθεκάστην
αὐτοκρατορεῖ καὶ ὑπερβαίνει ἐν ὑψώμασι πόλιν ἐκ πό-
λεως, λόγον ἔχουσα καύχημα.
90 *3.* Ἀλλ' εἴπῃ τις καὶ τὰς Ἀθήνας ποτὲ ἀκμαζούσας τῷ
λόγῳ καὶ τῇ παιδείᾳ σεμνυνομένας, καὶ γεγαννυμένας
ταῖς ῥητορικαῖς ἀντιθέσεσι, καὶ κομψολογίᾳ πολλῇ ἦχον

F **70** θεωρίᾳ μιγν. πρᾶξιν: cf. ex. gr. Plotin. enn. III 8,1,14 sq.; 5,19–22; 6,1 sq. Greg. Naz. or. 14,4 = PG XXXV 864 a 6–12 ‖ **75** Hom. Il. VIII 19

L **70** τὴν ante πρᾶξιν add. **D** ‖ **76** ἡμῶν **C** ‖ **78** ἀγλαώτερον Bachm.: -ό- **A** *x* ‖ **81** ἡμᾶς **A** | ἐλλιμενίζει Bachm.: -ζῃ **A** *x* ‖ **85** ἐγχορίους **A**

M **76** ὑμῶν **C** ‖ **81** f. ἐλλιμνίζει **C**

πεμπούσας, καὶ *ταῖς οὐρανίαις ἁψῖσι* προσεγγίζειν νομιζούσας, ὥστε καὶ εἰς ἀθεΐαν, τὸ παράδοξον, μᾶλλόν γε πεσεῖν τοὺς αὐτῶν οἰκήτορας καὶ στερηθῆναι λόγου, οἱ 95
τῷ δακτύλῳ σαλεύειν ἐν λόγῳ δοκοῦντες ξύμπασαν γῆν. ὃ δὴ λέξας τις, τοῖς ἀντιποίνοις πληχθήσεται ὁ ἀὴρ ἐξ ἄλλης γλώττης, καὶ τοῖς ἐκείνου ὠσὶν ἀκουτισθήσονται ἕτερα πολλῷ πλέον φέροντα τῇ πόλει τὸ μεγαλοπρεπὲς καὶ τῇ φερωνυμίᾳ τὴν νίκην συναρμόζοντα, καὶ ἄμφω 100
ἀφοσιοῦντα τῇ Νικαέων τὰ νικητήρια. καὶ γὰρ ταῖς *χρυσαῖς Ἀθήναις* ἀληθῶς ἦν ποτ' ἦν λόγος εὐθαλής, ἀκμάζων, εἰ εἴπῃ τις, καὶ συνακμάζων τῇ πόλει, καὶ προεστώς· ἀλλ' οὐκ εἰς ἄκρον ἡ λογιότης τῶν αὐτῶν οἰκητόρων, οὐδ' εἰς τέλος ἀγαθὸν ὁ σκοπός, οὐδ' ἔνδοξον τὸ ἐργόχειρον, 105
ἐπειδὴ μᾶλλον ἐκ τούτου τοῦ κτίστου ἐπελανθάνοντο, ὅπερ ἀντιστρόφως ἔδει γίνεσθαι. λόγου γὰρ εὐμοιροῦντες ἐλάτρευσαν ἀλόγως εἰς αἰσχύνην τοῦ λόγου τοῦ διδακτοῦ τοῖς ἀλόγοις, τὸ μέγα τῆς ἀλογίας νοσήσαντες νόσημα. ἐνθαδὶ δὲ ἡ Νικαέων αὕτη λαμπρόπολις διττῶς 110
πλουτεῖ τὸ φιλόσοφον, ἔκ τε τῆς ἔξωθεν ὑποβάθρας σοφίας, ἔκ τε τῆς ὑπερκειμένης ταύτης θεογνωσίας. αὐτῇ καὶ γὰρ πολλαχῶς ἐστι τὸ φιλοσοφεῖν· ταῖς δυσὶ δὲ ταύταις τὸ πᾶν συναγόμενον, φιλοσοφοῦσι μὲν καὶ ταῖς Ἀριστοτελικαῖς καὶ Πλατωνικαῖς καὶ Σωκράτους ἐπι- 115
στήμαις οἱ ταύτης οἰκήτορες· ὡς ῥητορεύειν οὐκ ἐλαττονούμενοι οἱ τοὺς πάλαι Δημοσθένην καὶ Ἑρμογένην

F **93** Plat. Phaedr. 247 b 1 Lucian. bis acc. 33 = II 111,10–11 Macl. Eus. Caes. praep. ev. I 3,11 = 114,3 Sirin. – des Pl. al. || **101–102** Mich. Chon. paneg. Is. Ang. imp. 6 = I 211,12 Lampr.

L **97** ἀντιπόνοις **D** | πληχθήσεται] τληχθ. **AD** || **100** φερονυμία **AD** || **101** ἀμφοσιοῦντα **C** || **106** ἐπελάθοντο **D** || **107** γενέσθαι **D**

μιμούμενοι, *μένος πνείουσι,* σεμνὰ κατ' ἦθος ῥέοντες μελισταγῆ ῥητὰ διὰ γλώσσης ῥοιζούσης ἦχον χρυσοῦν, τῷ
120 ποιητικῷ τε ῥυθμῷ θαμίζοντες τὰς ψυχὰς καὶ ταῖς ἐκ τῶν ἰύγγων ᾠδαῖς παῦλαν διδόντες τοῖς θηριώδεσι τῶν ψυχικῶν δεινῶν ἀναστήμασιν, ἄλλην ἄλλως τε πᾶσαν παιδείαν ἐξησκημένοι, περὶ ἧς οὐ καθῆκον λέγειν κατ' ὄνομα, μαθηματικήν τε καὶ τὴν αὐτῆς ὑπερέκεινα ἰατρι-
125 κὴν καὶ κατὰ μέρος τὰ μέρη τούτων ἐπιστημόνως γινώσκοντες. ταῦτα δὲ πάντα οὐ καινόν ἐστι καὶ παράδοξον αὐτοῖς γινωσκόμενα, ἀλλὰ καινὸν τρόπον φιλοσοφίας μίξαντες τῇ θεογνωσίᾳ, εὐαγγελικαῖς καὶ ἀποστολικαῖς καὶ πατρικαῖς παιδαγωγηθέντες θεηγορίαις τὸ
130 πρίν, φιλοσοφοῦσι τὰ θεῖα δόγματα *μετακεντρίζοντες τὸ ἀγριέλαιον εἰς καλλιέλαιον* 'καὶ αἰχμαλωτίζοντες πᾶν νόημα' *εἰς Χριστόν,* τοῦτο ἦν τὸ καινόν. ἐκ τούτου καὶ γὰρ ἡ Νικαέων λαμπρύνεται παμπληθῶς· ὥσπερ τις κρήνη καθαρωτάτη καὶ γὰρ αὕτη καθεστηκυῖα πλημ-
135 μυροῖ τὰ χεύματα τῆς εὐσεβείας πᾶσαν ἄλλην πόλιν ἐπάρδουσα, ἀπορροίας οἱονεὶ τοῖς ἐπὶ τὸ πεδίον οἰκουμένης χωρίοις ἐκ τῆς πρώτης ἀκρωρείας μεταδιδοῦσα, σχοῦσα τὴν τοῦ ὕδατος ἔκβλυσιν. ὃ δὴ ποιοῦσα κορεννύει ψυχὰς πενήτων καὶ μὴ πενήτων. βρύει γὰρ ἡ
140 χάρις τὰ δόγματα· ἐπιδέχεται αὕτη, μεταδίδωσι τοῖς οἷσπερ ἔτυχε, λαμβάνουσα μὲν πλουτεῖ, μεταδιδοῦσα

F **118** Hom. Il. II 536; III 8; XI 508 al. || **130–131** Paul. ep. Rom. 11,24 || **131–132** Paul. ep. Cor. 2,10,5

L **118** πνέουσι **C** || **131** καλιέλαιον *x* || **134** κρίνη **AD** || **136** τοῖς] τῆς **C** || **138** σχοῦσα] χοῦσα **C** || **140** δὲ ante αὕτη add. **D** || **141** οἷσπερ ἔτυχε] οἷς περιέτυχε **A**

P **138–139** κορεννύει ~ μὴ πενήτων: cf. **2,636–637**

ἐνσεμνύνεται καὶ ἀμφοτέρωθεν ἀκτινοβολεῖ διττῶς φιλοσοφοῦσα τὰ ἐξαίρετα. ὁπόταν καὶ γὰρ εἰς ταὐτὸ συνδράμωσι φιλοσοφία καὶ εὐσέβεια καὶ ἀντιδοτικῶς ἀνακραθῶσι κατὰ θεῖον σκοπόν, *ἀστράπτουσι βολίδας* πολ- 145
λὰς καὶ μαρμαίρουσιν οἰκουμένην ὅλην σχεδόν, καὶ σὺν τῇ πόλει τοὺς αὐτῆς κατακαλλωπίζουσιν οἰκιστάς.

4. Ἐγὼ δὲ τῇ πολλαχῶς ὑμνουμένῃ τῆς πόλεως καλλονῇ τῷ λόγῳ τούτῳ τῷ χθαμαλῷ ἐκτραπεὶς καὶ τοῦ καθήκοντος ἐπιλαθόμενος τῆς ὁρμῆς, καὶ ὁ πόλιν βου- 150
λόμενος ἐξιστορεῖν παριδών, ἐπὶ τῶν πολιτῶν ὅρμησα τὰ ἐγκώμια· ὃ καὶ μηδὲν ὅλως δόξει καινόν, ὥστε καὶ μεμψιμοίρου τυχεῖν ἡμᾶς μοίρας παρ' ἀνδρὶ σκώπτειν ἐπιτηδευομένῳ, ὅτι οὐδὲ πόρρω τοῦ δέοντος ἐπεπράχειμεν ἐκ τῶν ἐμψυχωμένων ἀρξάμενοι καὶ λόγῳ δόντες τὰ 155
πρωτεῖα ὡς λογικοὶ καὶ τοὺς πολίτας στηλογραφήσαντες. ἑπομένως καὶ γὰρ τούτοις αὐτὰ ἅπαντα τῇ καλλονῇ ἐπακολουθήσουσι. τί δ' ὅταν ἐν πόλει λόγος περιπολῇ καὶ γνῶσις ἐνδιατρίβῃ καὶ μάθησις ἐκτριβάζηται, ταύτῃ τί φανήσεται ὡς ἐλλεῖπον; οὐδὲν οἶμαι φανήσε- 160
ται· ἀλλὰ καὶ μάλα γε πάντα ἐν αὐτῇ οἰκοδομήσει ἡ τοῦ λόγου ἰσχὺς βρύει ἀκαινοτόμητα. τὰ γὰρ λόγῳ οἰκοδομούμενα ὀλβιώτερα ὑπάρχουσιν ἢ τὰ μὴ λόγῳ πανταχόσε συναγόμενα, ἀλλ' εἰκῇ φερόμενα καὶ ὡς ἔτυχον τυχικῶς· οὕτως οὖν οἶδεν ὁ νῦν λόγος διὰ ταῦτα τὴν πόλιν 165
ὑμνεῖν, οὕτως αὐτῆς τὰς χάριτας ἱστορεῖν, οὕτως αὐτῆς

F 145 Septuag. sap. 5,21 Zach. 9,14

L **143** ἐς **D** || **144 sq.** ἀνακρασθῶσι **A** || **147** καλλωπίζουσιν **A** || **151** ὥρμησα **D** || **152** δείξει **C** δοξάζει **D** || **159** ἐνδιατριβῇ **A** || **160–161** ὡς ἐλλεῖπον ~ φανήσεται ex homoeot. om. **A** || **162** βρύει scripsi: βρύειν **A** *x* | τὰ] τῷ **A**

P **153** μεμψιμοίρου ... μοίρας: cf. **4,93**

διακηρυκεύειν τὸ ὕψωμα· λόγῳ γὰρ καὶ σοφίᾳ τοὺς πο-
λίτας ταύτης πάντων ἄλλων ὑπερεξαίρων, βασιλίδα
πασῶν ἀναγορεύει αὐτὴν καὶ κυρίαν ὄντως διὰ τοῦ
170 λόγου ὑπάρχουσαν τὸ ἀξίωμα. εἰ δέ τις ἀγροικικῇ μοι
βοήσει· "Πάριδε λόγον τοῦ ἐξυμνεῖν καὶ πόρρω πέμψον
παιδείαν καὶ μετάστρεψον τὸν αὐλόν, καὶ ταῖς τοῦ λό-
γου χορδαῖς ἔνθες ᾠδὴν ἡδονῆς ὑλικῶς τε βάδισον εἰς
ἐγκώμια τροφῶν καὶ τρυφῶν, ἐπειδή, ὡς ὁρᾷς, συρρέει
175 πλῆθος πολὺ βουλομένων μᾶλλον τρυφᾶν ἐξ ὧν εὐφραί-
νονται οἱ πολλοί, ἢ λόγῳ κατ' ἦθος κοσμεῖσθαι καὶ σε-
μνύνεσθαι τὰς ψυχάς", πεισθῶ τῷ λόγῳ τοῦ λέξαντος,
ὅθεν καὶ τῶν τῶν ἐμψύχων καὶ λογικῶν φυτηκομιῶν
φυτῶν ἀποχωρήσας, εὐθὺς πορεύσομαι ὡς τρυγὼν πτε-
180 ροκροτήσασα εἰς ἄλση Χαρίτων καὶ πανταχόσε διαδρα-
μοῦσα καὶ κύκλωσε κόσμον ὅλον ἀναπολήσασα· βαδιοῦ-
μαι τῷ νοῒ καὶ ποτίμους πηγὰς διειδέστατα βλυζούσας
ὕδατα εἰς τὴν Νικαέων πόλιν. οἶδ' ὅτι πόλιν στραφήσο-
μαι ἐν σπουδῇ, ὡς πασῶν ἄλλων ὑπερκειμένην καὶ βασι-
185 λικῶς ἐξῃρημένην ἁπανταχῇ.

5. Τί καὶ γὰρ ἐν ταύτῃ ζητῶν τις οὐκ εὑρήσει, ἢ πο-
θῶν οὐκ εὐμοιρήσει κατὰ πολύ, ἔκ τε τῶν χαρίτων τοῦ
χώρου καὶ τῆς μεταλλικῆς ἰδιότητος, ἔκ τε τῆς τῶν
ἐπικτήτων τερπνότητος, ἅτινα τῷ καλῷ φυσικῶς ὡς
190 ὅλῳ μιμούμενα συνέρρευσαν εἰς αὐτήν; ἐν ταύτῃ πλῆ-

F **180** ἄλση Χαρίτων: cf. Pind. Ol. 9,27 al.

L **170** ἀγροικικῇ] -κινῇ **C**. fort. -κικί scribend. || **178** τῶν τῶν] τὴν **A** τῶν **D** || **180–181** καὶ πανταχόσε ~ ἀναπολήσασα post ὕδατα (183) habent **A** *x*: transposui || **180 sq.** δραμοῦσα **D** || **182** πηγὰς] ψυχὰς **C** || **183** πόλιν[1]] πάλιν **AC** | πόλιν[2]] fort. ἀνὰ π. scribend. || **186** τί om. **D** || **190** συνέρρευσεν **D**

M **183** f. πόλιν **C**

θος φυτῶν κύκλῳ φυτουργούμενον καὶ ἔνδοθεν παμπλη-
θῶς· ἣν εἰ ἴδῃ τις ἐκ μακρόθεν, ἄλσος εἴπῃ ταύτην τῶν
δένδρων πανταχόσε κοσμούμενον τῇ εὐφυλλίᾳ, ἢ πόλιν
ὑποτοπάσειε· προσεγγίζων δέ, διανοήσεται εἶναι παρά-
δεισον ἐκ τῆς ἐξερχομένης ὀδμῆς, καλλίστης γε οὔσης 195
καὶ εὐφραντῆς. ἐκεῖθεν δ' αὖ αὐτῇ πλησιέστερον βα-
δίσας καὶ ξυντυχών, ἱλαρυνθῇ πάντα τὰ αἰσθητήρια·
ἔνδοθεν δὲ χωρήσας καὶ τὰς ποικιλίας τοῦ ἔνδον χώρου
καὶ τὰς θεάτρων ἰδέας καὶ τὰς τῶν οἴκων εὐπρεπείας
περισκοπήσας, οὐκ ἄλλο τι λέξει εἶναι αὐτήν, ἢ πόλιν 200
Χαρίτων καὶ γῆς μακάρων ὑπερκειμένην κατὰ πολύ·
ναούς τε περικαλλεῖς σεμνεῖά τε ἀγλαὰ κἀντεῦθεν θεά-
σεται ἄπειρα, ἐξ ὧν εἰς πλείονα τὸν αὐτοῦ νοῦν θεω-
ρίαν ἀναγαγών, πόλιν εἴπῃ ταύτην θεοῦ, ἀγγέλους ἐκ
τῆς πρώτης ὑπεροχῆς βλέπων ἀνερχομένους τε καὶ κα- 205
τερχομένους ἐν ταύτῃ καὶ ἐκπληροῦντας τὰ προσταττό-
μενα τοὺς εὐσεβεῖς βασιλέας αὐτῆς. τῇ γὰρ παντουρ-
γικῇ χειρὶ τοῦ θεοῦ τὰ πρωτεῖα, ὡς οἶδε μόνος αὐτός,
αὕτη λαβοῦσα, καὶ ταῖς ἀριστουργίαις τοῦ ὑψηλοῦ βα-
σιλέως τήν γε ὡς εἰκὸς ἐπίτασιν τῶν ὧν εἶχε δεξαμένη 210
περιτειχισμάτων καὶ πυργωμάτων, διπλασιάζει τὸ ἀσφα-
λές, περιτειχιζομένη τοῖς προπυργώμασι καὶ ἐπενδυο-

H **202** magnificentiam ecclesiarum coenobiorumque urbis Nicaeae collaudat etiam Theod. Metoch. or. Nic. = I 145,25 sqq. Sath. = 319,24 sqq. Mineva ‖ **209–210** τοῦ ὑψηλοῦ βασιλέως: Iohannes III Ducas Batatzes ‖ **212 sqq.** de Nicaenorum moenium firmitate cf. Const. Man. chron. 4075–4076 = I 222

L **192** ἴδῃ] εἴδῃ **C** ‖ **198** ταῖς ποικιλίαις **ACD**^{ac} | χωρίου **D** ‖ **199** ταῖς … ἰδέαις **ACD**^{ac} | ταῖς … εὐπρεπείαις **AD**^{ac} ‖ **202** καὶ post τε^{2} add. **A**$^{sl\ prob}$ ‖ **204** τε post ἀγγέλους add. **D** ‖ **212** τοῖς om. **C**

μένη τοῖς θριγγίοις θριγγώματα, τῇ τε ὡραιότητι καλ-
λωπιζομένη καὶ στηριζομένη τῇ ἑδραιότητι. αὖθίς τε
215 τὴν τῆς ἰσχύος μονάδα παρὰ τοῦ βασιλέως δυάδι συν-
ενωθεῖσαν τῷ γύρωθεν αὐτῆς περιβοήτῳ ἐνδύματι,
ὑπερβαίνει κατὰ πολὺ τὰς πάλαι θρυλλουμένας πόλεις
τῆς γῆς. διὸ κυπαρίττων εὐθείας ἀναβάσεως εὐμοι-
ροῦντα αὐτῆς τὰ πυργώματα καὶ στύλοις ἀδαμαντίνοις
220 ταῦτα παρεικαζόμενα, τὸν τῆς σοφίας εἴπῃ τις οἶκον
αὐτὴν παρὰ Σολομῶντι τὸν ἐξυμνούμενον· πολλαχῶς
καὶ γὰρ ἐν ταύτῃ τὰ ὀχυρώματα καθεστήκασιν, ἐπεὶ
καὶ τὸ τῆς νίκης ὄνομα ἀφωσιώθη ταύτῃ ἀπὸ θεοῦ.

6. Ἀλλ' εἴπερ ἐρεῖ τις ἕτερος τρυφῆς ἐραστής· "Με-
225 τάδος τῶν χαρίτων ταύτης κἀμοί· ἡδυνθῆναι μάλα καὶ
γὰρ ἐκ ταύτης θέλω τὰ αἰσθητήρια", οὐ παρίδω αὐτόν,
τῶν τε ὑδάτων αὐτῆς ὕδωρ ἀναλαβόμενος ἐκπλυνῶ τῆς
αἰσχύνης αὐτόν, καὶ κορεσθῆναι προτρέψω καὶ ἀφιλο-
σόφως κατατρυφῆσαι τοῦτον τῆς ἡδονῆς. οὐδὲ γὰρ
230 ἔστιν ἐν κόσμῳ τις τροφῆς ἢ τρυφῆς ἐραστής, ὃς οὐκ ἐν
ᾧ ἐντρυφᾷ λάβῃ κόρον, εἴπερ δυνήσεται ὧν ποθεῖ ἐπευ-
φραίνεσθαι ἐν αὐτῇ. γύρωθεν γὰρ ταύτης καὶ πάλιν
ἐρῶ φυτὰ ὡραιότατα, ἀμπελῶνες ὑπὲρ τὸν ὃν οἶδεν ἡ

H Lamps. Nicet. Chon. hist. Andr. Comn. I 2 = 281,58–60 van Diet. Theod. Metoch. or. Nic. = I 144,4 sqq. Sath. = 318,7 sqq. Mineva

F **220–221** cf. Septuag. pr. 9,1

L **213** θριγγώματα] -μασι **A**^ac || **219** σύλοις **C** || **224** a τρυφῆς ἐραστής incipit **B** || **225** ταύτῃ **C** || **227** ὕδωρ **B**^sl || **228** καὶ^1 om. **D**

φύσις ἀριθμὸν ἀριθμεῖν, ὕδατα βρύοντα, ῥᾳδίως μὲν περαιούμενα εὐοχέτευτά τε τῇ τοῦ ὀχυρώματος ἐν καιρῷ 235
ἀνοικοδομῇ, πότιμά τε αὖθις καὶ διειδέστατα, ὑπὲρ κεφαλῆς ἔκβλυσιν σχόντα μέν, κύκλῳ δὲ διόλου τὴν πόλιν περιρραντίζοντα. οὐ πώποτε αὐτόχθων ἀνὴρ ἄλλου ὕδασιν ἐντρυφήσειεν· ἕκαστος γὰρ οἴκοθεν ἔχει πηγήν.
οὐ ζηλοτυπήσει ξένος τοὺς ἰθαγενεῖς· περιττεύει γὰρ ἡ 240
τοῦ ὕδατος ἔκβλυσις. ἄνευ σκέπης ἢ καὶ ὀρόφου τοὺς ἐπήλυδας ἡ τῶν λειμώνων εὐφυλλία σκηνοποιεῖ· πολλὴ γάρ ἐστιν αὕτη καὶ βρίθουσα. οὐκ ἀγρότην ἴδῃς τῶν οἰκείων ἀγρῶν ἐν ταύτῃ κεχωρισμένον τῶν πολιτῶν· ὑπερβαίνει γὰρ ἔξωθεν ἡ ἐξ αὐτῆς παιδεία βλυστάνουσα καὶ 245
παιδαγωγεῖ καὶ τὰ πόρρωθεν. τούτῳ δὴ τῷ τρόπῳ καὶ οἱ ἀγρόται ταύτης σοφίζονται.

7. Ἀλλ' ὦ πόλις θεοῦ – δεῖ με γὰρ οὕτω καλεῖν σε οὐχ ἅπαξ, ἀλλὰ συχνάκις διὰ τὰ τῶν σῶν χαρίτων ἐπεντρυφήματα –, ἤδη τρέπω τὸν νῦν λόγον πρὸς σὲ 250
καὶ προσλαλῶ σοι γνησιεστέρως, ἐπειδὴ προσεγγίζων σοι τῇ καλῇ τὰ ζωτικὰ τῆς καρδίας ἐξάπτομαι ὄργανα, ζωπυρηθείς τε ἐνεργείᾳ τῇ ψυχικῇ ταῦτα σοι νῦν ἐκβοῶ· πολλαὶ νῦν πόλεις ἐποίησαν δύναμιν, πολλαὶ εἰργά-

H 234 sqq. de aquarum copia in urbe Nicaena disserentem cf. etiam Theod. Metoch. or. Nic. = I 142,18 sqq. Sath. = 316,33 sqq. Mineva || 243–247 eruditionem in omnes Nicaeenses pervulgatam imperatorum consilio atque cura ostendit etiam ⟨Theod. Scut.⟩ chron. = VII 507,19–20; 512,5–7; 535,20 sqq. Sath.

F 239 cf. Liban. or. 11,246 = I^2 524,5–7 Först.

L 234 ἀριθμὸν post ἀριθμεῖν transp. B^{pc}AC || 235 εὐοχέλευτα C || 239 ὕδατος D || 240 ζηλωτυπήσει BAD || 241 σκέπεις B^{ac} | ἢ om. D || 247 ἀγρῶται B^{ac}A^{ac} || 252 σὴ B^{pc} (-ὴ s. l.), σῇ A || 254 νῦν] μὲν Bachm. fort. recte

255 σαντο δόξαν, πολλαὶ τὴν τοῦ οἰκείου γένους ἀρχὴν ἐστερέωσαν· σὺ δ' ὑπέρκεισαι καὶ ὑπερῆρας πασῶν, ἐπειδὴ πολλαχῶς ἡ Ῥωμαίων ἀρχὴ μερισθεῖσα παρὰ τῶν ἐθνικῶν στρατευμάτων καὶ ἡττηθεῖσα, πρότερόν τε συμπλακεῖσα καὶ ἁλωθεῖσα τὰς πόλεις καὶ γυμνωθεῖσα
260 τῆς ἐξουσίας, καὶ πᾶσαν γῆν οἰκείαν ἄβατον οὖσαν τὸ πρὶν βατὴν τοῖς ἐναντίοις τῇ δυναστείᾳ παραχωρήσασα, καὶ τῆς πρὶν μεγαλοπρεπείας στερηθεῖσα καὶ τῇ ἀτυχίᾳ εἴπω τι γεγονυῖα σμικροπρεπής, καὶ βρίθοντα πλοῦτον ἀπολωλεκυῖα καὶ τὴν βασιλικὴν ὑπεροχὴν τῆς πενίας τῇ
265 λύπῃ χθαμαλωθεῖσα, ἐν σοὶ μόνῃ ἡδράσθη καὶ ἐστηρίχθη τε καὶ ἐπαγιώθη. ἀρκεῖ σοι νῦν τὸ ἐγκώμιον· ἔχεις ἐν ὀλίγῳ τὸ πᾶν. τὸ γὰρ τόσον τοῦ πράγματος μεγαλοπρεπὲς ἐν λόγῳ σμικρῷ ἅπασιν δεικνύει τὸ ἀληθές, ἐπειδὴ οὐδὲ τὴν τοῦ ἡλίου δύναμιν ἐς τόσον ἐστί τις
270 ἀφρονέστατος, ὥστε παρ' ἑτέρων πυθέσθαι μαθεῖν, ἀλλ' αὐτοφυῶς τε καὶ φυσικῶς γνοίη γε ἂν πᾶς ταύτην καθαρῶς ὁ κεκτημένος τὰς φρένας ἐν τῷ νοΐ. τοῦτο δὴ καὶ τῷ σῷ ὑπάρχει τρόπῳ, ὦ Νικαέων λαμπρὰ μεγαλόπολις, διότι δίκην πυρσοῦ τὰ σὰ ἐν κόσμῳ κατὰ τῶν
275 ἐχθρῶν ἐξέλαμψαν τρόπαια, ὅτι γε καὶ τὴν βασιλικὴν ὑπεδέξω ἀρχὴν καταδυναστευομένην παρὰ τῶν ἀντιπάλων, καὶ ὥσπερ *ἀρραγὴς πέτρα* ταύτην φυλάττουσα καὶ

H **256 sqq.** similia leguntur ap. Theod. Metoch. or. Nic. = I 150,23 sqq. Sath. = 323,23 sqq. Mineva

F **277** Eus. Caes. praep. ev. I 3,8 = 112,8 Sirin. – des Pl. comm. in ps. 17 = PG XXIII 173 d 3–4

L **256** ἐστερεώθησαν **A** | δὲ **D** || **258** πρώτερον **A** || **265** τε ante καὶ add. **C** || **266** τε om. **D** || **269** δὲ post ἐπειδὴ add. **D** || **271–272** ταύτην καθαρῶς post κεκτημένος habent codd.: transposui || **277** ἀραγὴς **A**[ac]

τὰς τῶν ἐχθρῶν ἀποσοβοῦσα ὁρμὰς ἀμβλύνεις τούτων
τὰ δόρατα, καὶ καταθραύουσα τὴν τούτων ἰσχὺν καὶ
φυλάττουσα τοὺς οἰκείους, ἁμιλλωμένη τοῖς ἐναντίοις 280
ἀσφαλῶς παρὰ σεαυτῇ τὰ ἀνειμένα καὶ ἐκλελυμένα τῆς
ἀρχῆς μέρη στηρίζεις. τῆς γὰρ Κωνσταντίνου τὸ πρὶν
ἁλωθείσης καὶ ὑποκλεισθείσης τοῖς ἐναντίοις, καὶ νῶτα
δούσης τῇ Ἰταλικῇ στρατιᾷ καὶ δουλωθείσης καὶ τὰς
ἑτέρας πόλεις οὐκ εὐαγγελικῶς φυλαξάσης, ἀλλ' ὥσπερ 285
τινὸς μύστιδος αὐτὰς παραβλεψαμένης, ἐκθροηθείσης
τῆς Ἰταλικῆς ἀλαζόνος φωνῆς ὑπὸ τῆς ἠχοῦς, καὶ τῶν
σκύμνων μέσον τῆς ἀρχῆς εἰσδύντων καὶ ἁλωσάντων
τὰς πόλεις καὶ δουλωσάντων τὸ στράτευμα καὶ ἀμβλυ-
νάντων τὰ ὅπλα καὶ νικησάντων κατὰ πολύ, ὥσπερ μι- 290
σθωτοῦ τῆς πόλεως φευγούσης, σὺ μόνη μέσον ὥσπερ
ὅπλον ἀγχέμαχον εἰσεπήδησας, τῆς Ἰταλικῆς ἰσχύος τὴν
σηπεδόνα ἀποκρουομένη καὶ ἀλυκότητι στρατηγίας δη-
λονότι καὶ εὐσεβείας τὴν αὐτῶν σεσαθρωμένην ὀφρὺν
ταπεινοῦσα καὶ ἀτιμάζουσα, ταῖς δὲ Περσικαῖς ἐκδρο- 300
μαῖς ἀντιταττομένη καὶ τὴν ἧτταν αὐταῖς ἀεὶ συναρμότ-
τουσα, στρατηγοῦντος ἐκ σοῦ, οἱονεὶ τοῦ πρωτουργοῦ
τῆς ἀναλωθείσης Ῥωμαίων ἀρχῆς, μεγαλοθύμου ἀετο-
δρόμου μεγάλου βασιλέως Θεοδώρου τοῦ Λάσκαρι. νῦν
δὲ τῷ θεμελίῳ τούτου ὁ γενναιόφρων βριαρόχειρ μεγα- 305

H **282 sqq.** Constantinopolis a Latinis capta 1204.IV.13 || **300–301** Περσικαῖς ἐκδρομαῖς: sc. incursiones Turcarum || **304** Theodorus I Lascaris

F **292** Xen. Cyr. I 2,13 al.

L **281** σεαυτὴν **A** | ἀνακείμενα **D** || **283** ὑποκληθείσης **BA** ὑποκλιθ. **D** || **286** μίστιδος **D** || **291** μέσον **B**[sl] || **300** ἀτιμάζουσα] ἀφανίζουσα **D**

λοφυὴς βασιλεὺς Δούκας ὁ χαριτώνυμος, μυριαχῶς αὔξων τὰ ὅρια τῆς ἀρχῆς, εἰς τὴν ἀρχαίαν ἔγγιστά πως αὐτὴν ἀνάγει μεγαλειότητα.

8. Διὰ τοῦτο σοὶ οἶμαι πᾶς ἔμφρων ἀνὴρ τὰ πρωτεῖα
310 δώσει ὡς ἀληθῶς ὑπερκειμένῃ τῶν πόλεων ἁπασῶν, ἐπειδὴ καὶ νόμος ἐστὶ τοῦτο τῷ ἐπιμείναντι χειμαζομένῃ νηΐ, κύριον εἶναι ταύτης αὐτόν. πότερον οὖν τὰς τῶν ἐχθρῶν ἐφόδους σὺ καρτερήσασα καὶ φυλάξασα τὴν ἀρχὴν καὶ τηρήσασα τὸ πολίτευμα καὶ τὸ στράτευμα
315 καθοπλίσασα καὶ τοὺς ἐναντίους ἀποδιώξασα, ἔδει λαβεῖν σὲ τὰ νικητήρια καὶ τὴν φερωνυμίαν τῇ πράξει συμμίξασα πασῶν σὲ κυριεῦσαι τῶν πόλεων. καὶ γὰρ πάλιν νοστήσαντος τοῦ θερμοῦ καὶ διὰ τῶν φλεβῶν τε καὶ ἀρτηριῶν παρ' ἑτέρας ἀνωμαλίας μετατραπέντος
320 καὶ διαδοτικῶς προσεγγίσαντος τῇ καρδίᾳ, αὐτοῦ τε πολλαπλασιασθέντος καὶ συστραφέντος καὶ πῇ μὲν σβεννυμένου τῇ ποσότητι, πῇ δὲ σφαδάζοντος ἐκ τῆς ποιότητος, ἐχρῆν ἐξακοντισθῆναι τοῦτο ὅτε καιρὸς καὶ διελθεῖν ἐν τοῖς μέλεσι καὶ ἐνθερμάναι τὰ ἐψυγμένα καὶ
325 ἀναζωπυρῆσαι τὰ ἐσβεσμένα καὶ τῇ ὁλομελείᾳ πάσῃ δοῦναι τὸ ζωτικόν, ὥστε καὶ τῇ θερμότητι τὸ πρὶν νεναρκωμένον σῶμα κοῦφον βαδίζειν ποιῆσαι καὶ εὐφυῶς,

H **306** Iohannes III Ducas Batatzes

F **318 sqq.** cf. ex. gr. Galen. us. part. VII 9 = III 545,3 sqq.; 547,1 sqq. Kühn

L **309** σοὶ om. **D** ‖ **311** ἐπιμείναν **B**[ac] ‖ **317** συμμίξασα] συζεύξασα **D** ‖ **318** παλιννοστήσαντος **D** ‖ **319** ἀνομαλίας **C**

M **317** γρ. συμμίξασα **D**

P **306–308** cf. **2,694–695**

ταχινωτέρως τε οἴχεσθαι καὶ στρέφεσθαι γρηγορότητι
καὶ τῇ ὀξύτητι ὑπερβαίνειν νόμους τοὺς φυσικούς· τὸ
πρὶν γὰρ συναχθέν, ἐξακοντισθὲν τοιαῦτα οἶδε ποιεῖν. 330
τῷ τοί γε καὶ ἡ ἀρχὴ πᾶσα κατὰ ἀνάρροιαν ἐν σοὶ εἰσ-
δραμοῦσα τῇ παρὰ τῶν ἐχθρῶν καχεξίᾳ, διωκομένη τε
καὶ ἀποκρουομένη, ἀνεζωπυρήθη ἐκ σοῦ καὶ ἔλαβε τὴν
ἰσχύν, παρὰ τῆς σῆς ἰσχύος λαβοῦσα τὴν σταθηρότητα,
καὶ προέβη τοῖς ἔξωθεν καὶ τὰς νενεκρωμένας πόλεις 335
τῇ τυραννικῇ δυναστείᾳ τὸ πρὶν οἱονεὶ ὥσπερ μέλη καὶ
μέρη ἀνεζώωσε καὶ ἀπεδίωξε τοὺς ἐχθρούς, καὶ τῇ συν-
θέσει λαμβάνει τὴν ὕπαρξιν, ἣν ἀπόλωλε πρότερον.
τούτων ἐκ σοῦ ηὐμοίρησεν ἡ ἀρχή, τὸ μὲν φυλαχθεῖσα
τὸ πρὶν ἐκ τῆς λύμης τῆς ἐθνικῆς, τὸ δ' ὅτι καὶ πᾶσαν 340
διχόνοιαν τῆς οἰκειακῆς ἀρχῆς ἐκκόψασα καὶ ἑνώσασα
τὰ διῃρημένα τὸ πρίν. σοὶ οὖν, δι' ἧς τῆς πρώτης ἐλευ-
θεριότητος ἔτυχε, βασιλικῶς τὰ τῆς νίκης δωρησαμένη
πρωτόλεια, νυμφαγωγεῖ σὲ ἄρτι τῷ βασιλεῖ, 'γεννήματα
ἐχιδνῶν' τῶν δυτικῶν ἀρχῶν σοὶ προσφέροντι, ἐκφυ- 345
γόντα δηλονότι ἐκ τῆς ὑποκειμένης ὀργῆς τῆς αὐτοῦ
τμητικωτάτης ἐν ἀληθινῇ καὶ βεβαίᾳ κρίσει διακρίσεως.
δέδεξο γοῦν τοῦτον ἡ μεγαλώνυμος καὶ ἐνσεμνύνθητι ἐν
αὐτῷ πολλαχῶς, ὡς νικητῇ μὲν περιπλεκομένη, ὡς δε-

H **344** τῷ βασιλεῖ: Iohannes III Ducas Batatzes

F **344–345** ev. Matth. 3,7; 12,34; 23,33 ev. Luc. 3,7

L **328** ταχινωτέρως scripsi: -νο- codd. || **331** ἀρχὴ] γραφὴ **C** || **338** ἀπώλωλε **D** || **342** σὺ **C** | οὖν om. **B**[ac], qui spatium vacuum trium litterarum ad rubricam recipiendam rel., **AD** || **345** ἐχιδνῶν om. **D** spatio vacuo decem litterarum relicto | ἀρχῶν post σοὶ transp. **D** | προσφέρωντι **BA** προσφέρων τι **C** || **347** τῆς ante διακρίσεως add. **B**[ac] || **348** μεγαλώνυμον **D**

350 σπότῃ δὲ πειθαρχοῦσα καὶ ὡς ἀετῷ ὑψιβάμονι καλιὰς ἀρίστας προσφέρουσα, ἵν' *ἐν ταῖς πτέρυξι ταῖς ἑαυτοῦ σκεπάσῃ* τὰ σὰ ἀρχίτοκά τε καὶ νεογνὰ καὶ ἐν τῇ πολλῇ τούτου ἰσχύϊ διαφυλάξῃ τοὺς ἐν σοὶ ἐπικαλουμένους αὐτόν. διὸ καὶ τὴν νῦν νίκην ἐν σοὶ ἀποθησαυρίσας ὁ
355 βασιλεὺς ὥσπερ τινὰ θησαυρὸν ὀλβίως χρήματα βρύοντα, ἀεὶ σὺν τούτῳ καὶ τὴν αὐτοῦ καρδίαν ἐν σοὶ προσαρμόσειεν· 'ὅπου γάρ ἐστιν ὁ θησαυρός, ἐκεῖ καὶ ἡ καρδία' *τοῦ τοῦτον κατέχοντος.*

9. Πότερον οὖν καὶ ἡμεῖς τῇ βασιλικῇ ῥοπῇ ἑπομένως
360 ἀκολουθοῦντες καρδιακῶς καὶ τρέχοντες ἀσμένῳ ποδὶ καὶ βαδίζοντες ἐλευθέρᾳ ψυχῇ, οὐκ ἀθλιψίας μὲν ὑπαρχούσης αὐτῇ, πόρρω δέ γε λύπης οὔσῃ καὶ μὴ πασχούσῃ παθήματι καὶ μὴ τιτρωσκομένῃ κατὰ πολύ, ἐλευθέρως, ὡς ἔφημεν, βαδιούμεθα· ἀλλὰ φιλοσοφίᾳ κοσμούμενοι
365 καὶ τῇ ταύτης ἐλευθεριότητι εὐπρεπῶς σεμνυνόμενοι, οὕτω χαίροντες τρέχομεν, οὕτως εἰσδύομεν εἰς σὲ τὴν καλὴν ἡμῶν κουροτρόφον, ἐπειδὴ ἀρχῆθεν ἡμᾶς ἐς γῆν ἐκ μητρὸς πεσόντας παρέλαβες καὶ ἔθρεψας μητρικῶς καὶ περιεποιήσω ὡς τιθηνὸς καὶ περιφανῶς κατεκάλλυ-
370 νας. οὗ χάριν σοὶ τὸν λόγον τοῦτον ἀντιπροσφέρομεν, ὃν δὴ δεδεγμένη σύ, ἡ λαμπρόπολις, οὐκ ἀμοίρους τῆς σῆς μεγαλονοίας ποιήσεις ἡμᾶς, ἀλλὰ πεποίθαμεν τῶν σῶν μετασχεῖν χαρίτων παντοδαπῶν, ἵν' ἐξ ἀνάγκης ἐν ταῖς

F **351–352** Septuag. ps. 16,8; 35,8 al. praeterea cf. Septuag. deut. 32,11 || **357–358** ev. Matth. 6,21 ev. Luc. 12,34

L **351** ἀρίστας Bachm.: ἀρίστους codd. || **359** οὖν] γοῦν **A** || **362** αὐτῆς **C** || **364** ἀλλὰ om. *x* || **365** ἐλευθερότητι **A** || **368** ματρικῶς **C**

ἐκ τῶν τροπαίων ἐν σοὶ ἀρίσταις παλιννοστήσεσι πολυδόξαστα σοὶ προσφέρωμεν τὰ ἐγκώμια, νίκας τε σοὶ 375 προσαρμόζοντες ἐς ἀεὶ καὶ ἀντιστρόφως ἐκ σοῦ τὴν νίκην παγκλεῶς ποριζόμενοι.

L **374** πάλιν νοστήσεσι **C** || **376** ἐκ σοῦ om. **D**

4

ORATIO FVNEBRIS IN FRIDERICVM II, GERMANORVM IMPERATOREM

Oratio, cum contra tituli notam nullam sententiam comprehendat vel notitiam, quae ad Germanorum imperatorem praecipue spectet, nihil ad Fridericum II de Hohenstaufen pertinet. hoc enim libello Theodorus noster de fortuna principibus adversa disputat: nam isti, quamvis omnia communis utilitatis gratia agant, hominum offensionem et vituperationem assidue necessarieque accipiunt. quae cum ita sint, putandum est Friderici II mortem (1250.XII.13) ansam tantum ad hoc opusculum dedisse conscribendum.

Τοῦ αὐτοῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι
τοῦ υἱοῦ τοῦ ὑψηλοτάτου βασιλέως κυροῦ Ἰωάννου τοῦ
Δούκα ἐπιτάφιος εἰς τὸν βασιλέα τῶν Ἀλαμανῶν κυρὸν
Φρεδερίκον

1. Περὶ ἀρχικοῦ ἀνδρός τε καὶ στρατηγοῦ βραχέ' ἄττα 5
δεῖ με διεξιέναι τὴν σήμερον. τῇ ἐπιληψίμῳ μοίρᾳ καὶ
γὰρ ἀεὶ τὸ ἀρχικόν, ἀνίσοις τε καὶ ἀμέτροις λόγοις
καταμωκωμένων τῶν λογισμῶν, φέρεται δυσαχθῶς ἢ τὸ
φορτικῶς νόσον ἄγον σῶμα νοσηλευόμενον. διὸ καὶ τοῖς
μὲν χρηστοῖς οὔκουν χάρις καὶ ἀρέσκεια ἕψεται πώ- 10
ποτε, τοῖς δ' ἄλλοις ἀεὶ ἐξ ἐπιδόσεως εἰς ἐπίδοσιν μώ-
μου τὸ ἄχαρί τε καὶ τὸ δυσάρεστον αὔξεται. καίτοι γε
καὶ αὐτῶν δὴ τῶν ἐν ἀλόγοις ζῴοις γενομένων οἱονεὶ
ἀρετῶν ἐπαινέται λόγοι πολλοὶ καθεστήκασι, καὶ τῶν
τῶν κατορθωμάτων φυσικῶν ἐπιδόσεων καὶ ἐν αὐτοῖς 15
ἀλόγοις οὐσῶν, εἰ καὶ φύσις πάντα κατὰ λόγον ποιέει.
ἀλλ' οὖν καὶ οὕτως ἔχοντα κλεΐζονται ταῦτα δὴ ἀλη-
θῶς, τὴν πρὸς τὸ συμφέρον ἀληθῆ ὠφέλειαν καὶ ἀρετὴν
εἰκονίζοντα· ἀμέλει καὶ τῶν τῆς κακίας ἀμβλωμάτων τε
καὶ συμβαμάτων τῶν ἐν ἀλόγων φύσεσι γινομένων οὐκ 20
ἔστι λόγος οὐδείς. ἐν ἀνθρώποις δὲ τοὐναντίον ἅπαν
ὁρῶ· τῇ τῶν λογικῶν γὰρ ζῴων ἐπιδόσει καὶ ἀρετῇ
λήθη τοῖς πολλοῖς διατρίβει τὰ τούτων πεπραγμένα πα-
ρέλκουσα· τῶν δέ γε οἵων δή τινων μερικῶν ἐλαττωμά-
των τε καὶ ἀποπτωμάτων τῶν τῆς σαθρᾶς μερίδος καὶ 25
ἀνοικείου μνήμη τοῖς πᾶσι διηνεκής ἐστι καὶ ἄτμητος.

L **2–3** τοῦ υἱοῦ ~ τοῦ Δούκα om. **D** ‖ **2** κυρίου **C** ‖ **3** κύριον **C** ‖ **12** τὸ[2] om. **D** ‖ **14** τῶν om. **A** ‖ **16** ἐποίει **D**

M 5 f. βραχύτατα vel βραχέα ἄττα **C**

καὶ γὰρ τὸ μεμψίμοιρον, οἱονεὶ φύσει τῷ ζῴῳ ἐνυπάρχον
τῷ λογικῷ, ἀεὶ ἕλκει τὸ ἡγεμονικόν· ὃ δὴ καὶ τοῖς λογι-
σμοῖς συνθολούμενον καὶ ἀναμιγνύμενον τῷ τε νῷ καὶ
30 ταῖς διανοίαις, κατὰ τῶν ὁμοίων λογικῶν ζῴων δολερῶς
γλῶτταν κινῆσαν καὶ ἐκστρατεῦσαν, ποιεῖ μυκᾶσθαι τὸν
πάσχοντα πλέον ἢ ταυρελάφων ἑσμὸν καιρῷ γονῆς καὶ
συνουσίας αὐτῶν ἄσημόν τε καὶ ἄσεμνον φωνὴν ἀπο-
φθέγγεσθαι, ὡς παράφορον, εἰς τὴν τῶν ὁμοψύχων καὶ
35 ὁμολόγων ζῴων διακωμῴδησιν.

2. Τῷ τοι καὶ τοσοῦτον ἐναρξάμενος ὁ ψόγος, ὥστε
καὶ τὴν ἀκρώρειαν ὑπερνικᾶν, τὴν ἀρχικήν φημι καὶ
στρατηγικὴν κεφαλήν, καὶ αὐτῶν δὴ τῶν *οὐρανίων ἀντύ-
γων* ἐφίεται ἅπτεσθαι, εἴπερ ἦν αὐτῷ δυνατόν. κρίσεως
40 γὰρ λογικῆς ἀμοιρῶν ὁ τῷ πάθει ἐπίληπτος, ἀνώτερον
μώμου παντὸς φανταζόμενος ἑαυτόν, πάντα ψόγον ἐκ-
πέμπει κατὰ τοῦ ἄρχοντος· καὶ θαῦμα ὄντως καινότε-
ρον, πῶς ἀλλοιουμένων τῶν ἀγαθῶν καὶ οἱονεὶ ἀμαυ-
ρουμένων καὶ ἀφανιζομένων, μᾶλλον συνιστῶνται τὰ
45 δύσχρηστα, καὶ στρατηγίαι στρατηγῶν καὶ ἀνδραγα-
θίαι, καὶ εὐβουλίαι καὶ ὑπομοναί, καὶ μόχθοι καὶ κόποι,
καὶ λιμώξεις καὶ κρύους καταφρονήσεις, καὶ ὁρίων πλα-
τυσμοὶ καὶ ἐχθρῶν ἀποσοβήσεις, καὶ νίκης βραβεῖα καὶ
ἐθνῶν καταδυναστεῖαι, καὶ ἀντιπάλων θραύσεις καὶ
50 πάντα ὅσα τῷ στρατηγῷ ἑπόμενά τε καὶ οἰκειότατα,
τοῖς κακίστοις ἐκνικῶνται, λήθῃ καὶ μώμῳ φημί, καὶ οἱ

H 32 de taurocervo cf. Cosm. Ind. topogr. Chr. XI 3 = III 319,1–7 Wolsk. Con.

F 38–39 Anth. Pal. IX 806,6 (anonym.); XI 292,1 (Pallad.) ps.-Iambl. theol. arithm. 10 = 81,20 De Falco – K. Ioh. Tzetz. hist. IV 723 = 154 Leone al.

L **27** φύσει **B**[sl] ‖ **33 sq.** ἀποφθέγξασθαι **D** ‖ **38** στρατιγικὴν **BA**

μὲν ψόγοι τοῦ ἄρχοντος ῥᾳδίως εὑρίσκονται, τῆς ἀρετῆς
δὲ οἱ ἔπαινοι 'ἐς Κυνόσαργες' ἀποπέμπονται. καὶ τὰ μὲν
περὶ εἰρήνης καὶ εὐκληρίας καὶ νόμων τηρήσεως, καὶ
σταθμήσεως τῆς ἰσορρόπου καὶ ἀναλογητικῆς, καὶ οἴ- 55
κτου καὶ εὐμενείας καὶ νουθεσίας καὶ σχέσεως καὶ δια-
κρίσεως, καὶ ὅσα ἄλλα ἀρχικοῦ ἀνδρός εἰσιν ἴδια, ὑπερ-
ορίᾳ συνάγονται· τὰ δ' ἀντίθετα μᾶλλον καὶ μᾶλλον
παρρησιάζονται, καὶ τῇ τῶν ἀναιδῶν πραγμάτων σχέσει
τῇ λίχνῳ τε καὶ κεκαπηλευμένῃ δημοσιεύονται, τὸν ψό- 60
γον συνιστῶντα κατὰ τοῦ ἄρχοντος. χρόνῳ γοῦν ἀκα-
ριαίῳ λαβῆς πονηρᾶς ἀνακυψάσης τοῖς πονηροῖς, τὰ
μὲν ἀγαθὰ λήθῃ κρύπτονται, τοῖς αἰσχροῖς δὲ χώρα δί-
δοται κωμῳδήσεως. καὶ τὰ μὲν οἱονεὶ τάφῳ στέλλονται,
τὰ ἐσθλά, τροπαίῳ δὲ φαυλισμοῦ ὑψοῦνται τὰ στυγητά· 65
καὶ τὸ καινότατον, εἰ ἐν γνώσει τὰ ὑπὲρ τοῦ λάχους ὁ
ἄρχων φρονεῖ, φέρει μὲν τὸν ψόγον, τὴν δὲ κακίαν ἀπο-
σοβεῖ. καὶ ταῦτα βλέπων καὶ μέντοι, ὡς εἰ μὲν χρόνῳ ἢ
τύχῃ ἢ καὶ μόρῳ ἢ οἵου δή τινος τρόπου συμβεβηκότος
ἀλλοιώσει ἠλλοιώθη τις ἕτερος ὁμοστράτηγος, ἔχει μὲν 70
τὰς πληγὰς ἢ τὰ στίγματα καὶ τοὺς τῆς δυσνοίας τοῦ
κοινοῦ μώλωπας, ἀγαθὸν δέ γε καὶ ἔνδοξον εἰ ἐπεπρά-
χει, οὐδὲν εἰς δόξαν αὐτοῦ τῷ ὀνόματι συνεισέφερεν. εἰ
δὲ καὶ τοῖς φιλανθρωποτέροις ἢ καὶ τοῖς εὐγνωμονεστέ-
ροις ἐστὶ διάκρισις, μερικὴ καὶ αὕτη καὶ πολὺ τοῦ ὀρθοῦ 75

F 53 Diog. IV 86 = CPG I 246,8–9 prov. append. II 24 = CPG I 398,6 Apost. VI 66 = CPG II 381,1–3 || **61–62** χρόνῳ … ἀκαριαίῳ: cf. Ar. Plut. 244 Dionys. Hal. ant. Rom. VIII 70,5 = III 233,5 Jac. Lucian. Tim. 23 = I 319,19 Macl. al.

L **53** καὶ] κἂν **C** | τὰ] τὸ **D** || **55** ἀναλογιτικῆς **C** || **63** κρύπτονται] συγκρύπτ. **D** || **63 sq.** δίδωται **C** || **67 sq.** ἀποσεβεῖ **C**

M 52–53 ση(μείωσαι) **D**

λόγου καὶ τοῦ σκοποῦ ἀληθῶς ἀποδιΐσταται. διττοῖς καὶ
γὰρ ξυνηγμένοις καὶ συναγομένοις πράγμασι διΐστανται
ἀμφοτέρωθεν τὰ ἑκάτερα τῇ διαστάσει τε καὶ τῇ μίξει·
καὶ τῇ μὲν ἕλκει ἡ πλησίον ταύτης ῥοπή, ἡ ἀρχικὴ ὄν-
80 τως διάκρισις – ῥοπὴ καὶ γὰρ καὶ μερὶς καὶ τιμὴ ἄρχον-
τος ἡ διάκρισις, ἐξ ἧς καὶ τοῖς ὑπὸ χεῖρα τὸ συνοῖσον
ζυγοστατούμενον ταλαντεύεται –, τῇ δ' ἄλλῃ καὶ δουλικῇ
ἓν μόνον, τὸ πράττειν τὰ βουλητά. καὶ μὴν ἀγχέμαχον
βέλος ἐστὶν ἡ ἀλήθεια, ἣν καὶ ἀρχικῆς γλώττης προκα-
85 θεῖσθαι τίμιον. ταύτην γοῦν ὁ τοῦ ἡγεμόνος νοῦς μίξας
δίκῃ τῇ τῶν πολλῶν, σχέσιν ἐκτέμνει τὴν ἀκρατῆ. καὶ
δὴ καὶ τέμνων καὶ καταστέλλων, ἵνα καὶ τὸ τοῦ λάχους
σώσῃ πολίτευμα καὶ ἡ ἀλήθεια πολιτεύοιτο, ἐγείρει
φθόνου κυήματα. καὶ μήν γε ὅπου δίκη καθέστηκεν,
90 ἀξίνῃ ῥιζοτομεῖται *διακρίσεως τὸ χεῖρον ἀπὸ τοῦ κρείτ-
τονος*· ὅθεν σὺν τῇ κρίσει καὶ τῇ τομῇ ἀνέρχεται οἱονεὶ
αὐτόματος ὕλη μερὶς φθόνου τῶν ἀγαθῶν, κἀντεῦθεν
πολλῷ πλέον ἔχει μεμψιμοίρου μοίρας μοῖραν ὁ ἀρχικός,
ἢ *χάριτος χάριν*, κατὰ τὸν φάμενον. διόπερ καὶ πρὸς
95 ἰατρείαν καὶ σωτηρίαν ἡ τῆς ἀρχικῆς κεφαλῆς ψυχὴ
ἀγωνιζομένη τοῦ πολιτεύματος ἕλκει μῖσος παρὰ τοῖς
ἄφροσιν.

3. Ἀλλ' ὢ τῆς παραπληξίας, ἢ μᾶλλον εἰπεῖν ἀληθέ-
στερον, βαβαὶ τῆς σατανικῆς ἐπηρείας. οὐ γὰρ ἀργήσει
100 τοῦ βασκαίνειν τὰ ἐκλεκτὰ ἡ δαιμονικὴ φάλαγξ ἡ μυ-

F **82** ps.-Pion. vit. Polycarp. 31 = II³ 464,11–12 Lightf. || **90–91** Niceph. Blemm. stat. reg. 2,14 = 48,3 Hung. – Ševč. || **94** Soph. Ai. 522 χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί

L **84 sq.** προκαθῆσθαι **D** || **96** ἀγονιζομένη **A** || **100** φάλαξ **BAC**

P **90–91** cf. **5,205–206** || **93** μεμψιμοίρου μοίρας: cf. **3,153**

σαρά. ἀλλὰ τὸ τὰ μὲν ἀγαθὰ καὶ ἀγαθῶς τελούμενα ἀδρανῆ τέλεον κρίνεσθαι καὶ ὀνείροις εἰκάζεσθαι, παρ' αὐτοῦ τοῦ βασκαίνοντος ἐμβατεύεται ψυχαῖς δυστρόποις τε καὶ τῇ αὐτοῦ ὁμοτίμοις ῥοπῇ· τὸ δὲ τὰ αἰσχρὰ καὶ τῆς κάτω χώρας ἐφιέμενά τε καὶ ἐξεχόμενα κλεΐ- 105 ζεσθαι, παρὰ τῆς αὐτοῦ σκαιότητος τῇ τοῦ καλοῦ φυγῇ δημιουργεῖται τοῖς πονηροῖς. ἀλλ' ἐπειδὴ καὶ ἄρχων καὶ στρατηγός, καὶ βουλευόμενος καὶ πράττων καὶ ἐν καιρῷ ἀναδυόμενος – καὶ γὰρ ἐν καιρῷ καὶ ἡ τῆς πράξεως ἀργία πρᾶξίς ἐστιν –, ὑπὲρ τοῦ λαοῦ καὶ τῆς ἀρχῆς 110 ταῦτα ἅπαντα ἀπεργάζεται, τί οὐκ ἂν οἱ εὐεργετούμενοι ἐξ αὐτοῦ καὶ λοιδοροῦντες αὐτὸν τίσωσιν εἶδος κολάσεως, εἰ καὶ μὴ ἀνθρωπίνως ἐν καιρῷ, θεϊκῶς δ' οὖν ὅμως *ἐν καιρῷ ἀνταποδόσεως*; ὁπόταν μὲν γὰρ τὰ μὲν τοῦ πολιτεύματος εὐπραγῇ, τὰ δὲ τῆς ἀρχῆς ὑψῶται καὶ με- 115 γεθύνηται, καίπερ καὶ εὐνομία ταῖς πόλεσι καὶ αὐταῖς λῃστῶν ἐφόδοις ἀνοίκειος εἰρήνη περιπολῇ – εἰ καὶ ὅλως τοῦτο ἀνοίκειον –, τί οὐκ ἂν ἀγαθὸν ἐνθησαυρίζηται τότε τῷ ἄρχοντι, ψυχὴν ἔχοντι δι' ἧς κανονίζειν καὶ ἀνημέροις χωρίοις δύναται τὰ τῆς εἰρήνης καὶ εὐκλη- 120 ρίας; ἴδιον γὰρ τοῦτο φιλοσόφου καὶ ἀκεραίας ψυχῆς καθέστηκεν ἀρχικῆς, καθὰ καὶ ὁ Σταγειρίτης, τῇ φιλοσοφίᾳ τὰ πρεσβεῖα δοὺς καὶ πειθήνιον ταύτῃ τὴν βασιλικὴν ὑπεροχὴν εἶναι οἷον νομογραφῶν, εἰρήνην τοῖς πο-

F 114 Septuag. Is. 61,2; 63,4 Nil. Ancyr. ep. III 18 = PG LXXIX 377 d 6 || **122 sqq.** cf. Arist. pol. III 1287 b 36–1288 a 15; V 1310 b 10–12.31–41; 1311 a 1–2

L **101** καὶ om. **D** || **112** λοιδωροῦντες **D** || **114** ὅμως om. **C** || **115** πολυτεύματος **A** | ὑψοῦται **B A** ὑψῆται **D** || **115 sq.** μεγεθύνεται **B**[ac]**A** || **118 sq.** ἐνθησαυρίζεται **A**

M **121** ση(μείωσαι)· περὶ φιλοσοφίας καὶ βασιλείας **D**

125 λιτεύμασι τότε ἐγγίνεσθαι ἀποφαίνεται, ὅταν εἰς ταὐτὸ συναχθεῖεν ἄμφω δὴ τὰ ἐξαίρετα. καὶ γὰρ βασιλικὴ καλοκἀγαθία τῇ φιλοσοφίᾳ μιχθεῖσα καὶ τὸ βασιλικὸν ἀξίωμα τὴν φιλόσοφον περιβεβλημένον μεγαλειότητα, καὶ καλλωπισθὲν ἐξόχως ἐντεῦθεν καὶ δοξασθέν, τὸν
130 τοῦ λαοῦ κοσμεῖ θεῖον κοσμήτορα, κόσμον ἐξαίρετον· 'κοσμήτορες' καὶ γὰρ ἔκπαλαι *λαοῦ* οἱ βασιλεῖς ὠνομάσθησαν.

4. Ἀλλ' ἐπανιτέον ἄνω καὶ ἐπαναληπτέον τὸν λόγον. οὐδὲ γάρ ἐστιν ἄξιον ἀεὶ τῇ θεωρίᾳ ἐπακολουθεῖν καὶ
135 στρέφεσθαι τοῖς ἐνδεχομένοις τρόποις πρὸς τὰ λεγόμενα· καὶ γὰρ λόγῳ λόγον συντιθέμενοι καὶ γνῶσιν ἑτέρας ἐξεχομένην εὑρίσκοντες γνώσεως, τάχ' ἄν τις εἴπῃ, ἀλληλενδέτων ὄντων τῶν λόγων καὶ τῶν ὡσαύτως νοημάτων, οὐδὲν τέλος ἐπιθῶμεν τοῖς λεγομένοις. ἐπεὶ γοῦν
140 τῶν θελημάτων διϊσταμένων – τοῦ τε ἄρχοντος δηλαδὴ καὶ τοῦ ἀρχομένου –, *πᾶσα ἀνάγκη* ἢ τὰ τῶν ἁπάντων τελεῖσθαι βουλεύματα καὶ τιμᾶσθαι τὸν ἄρχοντα – ὅπερ ἄτοπον· τοῦ τοιούτου καὶ γὰρ γενομένου ἀτοπήματος, πολλῶν *σκύμνων* ἀναιδεστάτων *μύλαι* τὰ μέλη
145 ἀλήσουσι τῆς ἀρχῆς –, ἢ τοῦ τῆς τρυτάνης ἴσου απαρεγκλίτου πολιτευομένου μῖσος φέρειν τὸν ἄρχοντα. τὸ δεύτερον αἱρετώτερον, καὶ κρεῖττον ὄντως τὸ τοιοῦτον μῖσος τῆς, ἵν' οὕτως εἴπω, ἀτίμου καὶ ἀσυμφόρου τιμῆς. ὢ καλοῦ μίσους. καὶ γὰρ τῆς ἀρχῆς συντηρουμένης καὶ

F 131 Hom. Il. I 16.375; III 236 al. || **141** Plat. Phaed. 67 a 4 Tim. 69 d 7 Theaet. 203 d 9 resp. II 381 c 10 al. || **144** Septuag. Ioel 1,6

L 125 ἀποφαίνεται] ἀποφθέγγεται **A** || **126** συναχθεῖεν] συναχθῇ ἐν **C** | βασιλικῇ **BAD** || **127** μιχθεῖσα] συμμιχθ. **D** || **131** καὶ om. **D** || **131 sq.** ὀνομάσθησαν **A** || **134** ἐπακολουθεῖν] παρακολ. **C** || **137** ἐξερχομένην **C** || **138** καὶ om. **D**

τοῦ φύσει ἀγαθοῦ ἐν ταύτῃ περιπολοῦντος, οὐκ ἂν λό- 150
γοι μεμψιμοίρων ἀνδρῶν, ἢ τὸ μᾶλλον τῶν μὴ ἀνδρικῶς
φρονούντων, τὸ τοῦ ἄρχοντος λυμήνωσι περικαλλέστα-
τον ὄνομα. δεῖ γοῦν ἅπαντας ἄρχοντας τὰ μὲν δυσαχθῆ
καὶ ἐπίψογα, εἴπερ εἰς συντήρησιν καθίστανται τῆς ἀρ-
χῆς, φέρειν ἐπὶ τῶν ὤμων, εἰ καὶ δυσαχθῶς, ἀλλ' οὖν 155
καρτερικῶς, καὶ μὴ δυσφορεῖν. πολλῷ πλέον καὶ γὰρ
ψόγος ἄρχοντος τὴν αὐτοῦ συνετὴν οὖσαν καὶ λελογι-
σμένην καταμαλθακίζει ψυχὴν εἰς τὰ τῶν ἀρχομένων
ὠφέλιμα, ἢ ὑετὸς πλημμυρήσας τοὺς ἀλσώδεις τόπους
τῆς γῆς. οὐ δεῖ οὖν τοῦ παθήματος κατατρέχειν τὸν ἄρ- 160
χοντα, ἀλλὰ ῥωννύεσθαι μὲν ἐκ προνοίας τῆς ἄνωθεν,
περιρωννύεσθαι δὲ οὕτως ἔσωθεν ἐκ ψυχῆς καὶ πράτ-
τειν τὰ εἰς συντήρησιν τοῦ κοινωφελοῦς πράγματος, καὶ
τούτου μηδὲν προὐργιαίτερον τίθεσθαι, εἰ καὶ ὅλον αὐ-
τὸν ὁ μῶμος κακίας στήλην ἀποτελέσειε. ταῦτα δίδωσι 165
λαλεῖν ἡ ἀλήθεια.

5. Ἐπεὶ δὲ καὶ τῷ θνητῷ γένει ἕπεται ὄλισθος καὶ παρ-
έπεται τῷ θανάτῳ λήθη τῶν ἀγαθῶν, τί ἂν πάθειέ τις
ἐξ ἐπαίνου ἐσθλόν; οὐδὲν ἕτερον, ἢ μόνον εἴπερ εὐμοιρεῖ
ἐκ τροπαίων πολυφήμου ὀνόματος. καίτοι γε καὶ ταῦτα 170
πάντα ὑπὲρ τοῦ κοινοῦ πράττων καὶ ἐν αὐτῷ ἅπαντα
καταλείψας – οὐδὲν καὶ γὰρ ἔχοιμεν ἐκ τῶν τῇδε ἀπαί-
ροντες –, φέρει μὲν μεθ' ἑαυτοῦ πάντα τὰ δύσχρηστα,
τὰ δ' ἐσθλά τε καὶ ἀγαθὰ τοῖς πολίταις καὶ τοῖς ἀγρό-
ταις καταλιμπάνων, οὐδὲν ὄφελος κέκτηται. τῇ γὰρ 175

F **167–168** cf. Ioh. Stob. anthol. IV 58,5 = V 1142,15–16 W.–H. (Stesich. fr. 52 B.[4]) θανόντος ἀνδρὸς πᾶσ' ἀπόλλυται ποτ' ἀνθρώπων χάρις

L **159** ὑιετὸς **C** ‖ **168** πάθοιε **A** ‖ **172** ἔχομεν **C** ‖ **172 sq.** ἀπαί-ροντες Drag.: ἐπαίροντες codd. ‖ **174** τε] τὰ **BC** om. **A**

λήθῃ καὶ τῇ ἀκρισίᾳ τετυφλωμένων τούτων ἁπάντων, *ἀμαυροῦνται παρ' αὐτοῖς τὰ καλά*. πολὺ δ' ἂν εἴη καὶ μέγιστον, εἰ γέ τις καθαριεύουσαν τὴν προαίρεσιν κέκτηται καὶ τοῖς λεγομένοις ἀκριβέστερον σκοπήσας ὀλολύ-
180 ξει τὴν ἀκρισίαν. καὶ γὰρ τὰ ὑπὲρ τοῦ λαοῦ τελούμενα εἰς ἀρετῆς συντήρησιν, εἰ καὶ δυσαχθῆ τῷ ἄρχοντι, εἰ καὶ δύσεργά εἰσιν, οἱονεὶ μυσάττει ὁ πληθυσμός, οὔκουν εἰδὼς ὡς ἐξ ἐκείνων συντηρεῖται δηλονότι καὶ διαμένει. θριαμβεύει τοίνυν καὶ ἀνακηρύττει τὰ μηδενὸς λόγου
185 ἄξια, τὰ δ' ἄλλα καὶ ἀγαθὰ πάντα ὅσα εἰς συντήρησιν αὐτοῦ πράττονται λήθῃ καὶ ταφῇ παραπέμπει καὶ ἀμαυροῖ. τί γοῦν τις πράξειεν ἀρεστόν; ὄντως οὐδέν· καὶ γὰρ τοῖς μὴ οὖσι τὰ μὴ ὄντα συγγενῆ, ὥσπερ τοῖς οὖσι τὰ ὄντα, κατὰ τὸ μὴ εἶναι καὶ εἶναί φημι, καὶ τοῖς
190 δυσχρήστοις τὰ δύσχρηστα καὶ πᾶσι τοῖς ἄφροσι τὰ κακά. ἆρα γοῦν καὶ ὁ ψόγος πάντων δυσχρήστων οἰκεῖος, εἰ καὶ πρὸς τὸν εὔχρηστον ἀκαταλλήλως ὁρμᾷ. ἀρχικοῦ δὲ καὶ στρατηγοῦ ἀνδρὸς ἔπαινος ὁ κατὰ φύσιν καὶ ἄριστος τὸ πράττειν τὰ σωτηριώδη τοῦ πληθυσμοῦ,
195 εἰ καὶ πάντες τοῦτον οἱ μυσαροὶ τοῖς ὀδοῦσι καταμασσήσονται· τἄλλα δὲ πάντα παραλειπτέον, εἴτ' οὖν, κυριωτέρως εἰπεῖν, ἐξοστρακιστέον. εἰ γὰρ καὶ στίγματα μάλα φέρει τῶν ἀναιδῶν ὁ χρηστὸς ἀνὴρ καὶ μετὰ μόρον, οὔκουν μελανωθῇ τῇ ψυχῇ, ὡς καὶ τῷ σώματι παρὰ
200 τῆς φθορᾶς. τὸ γὰρ ἀληθὲς ὁποῖόν τί ἐστιν ἔγνωσται, εἰ καὶ μὴ τοῖς ἀνοήτοις καὶ ἀκρατέσιν, ἀλλ' οὖν γε τοῖς λε-

F **177** Septuag. sap. 4,12 || **188–189** cf. Plotin. enn. ex. gr. I 8,3,1–9; V 8,9,40–41 || **193–196** cf. Niceph. Blemm. stat. reg. 13,206 = 112,2–3 Hung. – Ševč. ... ὁ τῶν ἐπαινετῶν αὐτουργὸς τιμιώτατος, κἂν μυρίοι καθυλακτοῖεν διακενῆς

L **177** ἀμαυροῦν **A** || **183** δηλονότι om. **C** || **196** παραληπτέον **C** || **200** τί] τε **C**

λογισμένοις καὶ αὐτῇ μᾶλλον τῇ φύσει καὶ τῇ ὀντότητι. εἰ γὰρ καὶ λήθη τὰ ἀγαθὰ δυνηθείη ποτὲ κρύψαι, οὔκουν καὶ τὸ ὄνομα· τοῦ δὲ ὀνόματος λεγομένου πρὸς ψόγον τοῦ ἔχοντος αὐτό, παρίσταται δὲ κατὰ τόπους 205 τὰ τρόπαια, ὧν τὰ μὲν σωζόμενα πλεῖστα χρησιμεύουσι τὴν ἀρχήν, τὰ δὲ τῇ τοῦ ἄρχοντος ἀποστάσει συναφανισθέντα τάχα χώραν διδόασι τοῖς ἐθέλουσιν ἀδικεῖν τὴν ἀρχήν; πότερον οὐκ ἀθροίσουσιν ἔπαινον καὶ μνήμην τοῦ ἄρχοντος; καὶ γὰρ τὰ βλαπτόμενα τῆς ἀρχῆς 210 μέρη καὶ κινδυνεύοντα τῇ ἀνάγκῃ ἐροῦσι τὸ ἀληθές, ἐπεὶ καὶ τὴν ἀρετὴν αἰδεῖται πολέμιος.

6. Τούτων γοῦν ἁπάντων οὕτως ἐχόντων, καὶ τῶν μὲν ἀμβλυωπούντων καταγινομένων περὶ τὸ ἀναιδές – ἄνω καὶ γὰρ ὡς ἀπεφάνθη τεχνίδριον δι' ὅλης ζωῆς τῆς αὐ- 215 τῶν ὁ ψόγος ἐστί, καὶ οὐθὲν ἄλλο τὸ τούτων ἐργόχειρον –, τοῦ δὲ ἀρχικοῦ καὶ στρατηγικοῦ ἀνδρὸς ἀγωνιζομένου εἰς τὰ πᾶσι συμφέροντα, δίκη ταλαντεύσει τὸ ἀληθές τε καὶ τὸ ψευδὲς καὶ μέρεσιν ἑκατέροις ἁρμόσει καὶ κατάλληλα δόματα. δίκης δὲ δόματα οὔκουν ἐξ- 220 αλειφθήσονται πώποτε, ἀλλὰ μενοῦσιν ὄντως ὡς ἰδιαίτατα· *θεοῦ* καὶ γὰρ *δῶρον ἔχει* ὄντως φύσει *τὸ ἀμεταμέλητον,* βροτῶν δὲ λόγοι ἐπισφαλεῖς ἄστατοι καὶ κατὰ πολὺ ψευδόμενοι καθεστήκασιν. ἀλλὰ ταῦτα πάντα ἐν βραχυτάτῳ λόγῳ συντεθέντα καλῶς, ἐμφαίνουσιν ἀλη- 225 θῶς τὰ τοῦ ἀρχομένου καὶ τὰ τοῦ ἄρχοντος ἰδιώματα.

F 222–223 Paul. ep. Rom. 11,29

L **210** βλεπτόμενα **C** || **211** καὶ om. **D** || **213** οὖν **A** || **214** καταγενομένων **C** || **216** οὐδὲν **A** || **220** καὶ om. **D** | δόματα[1.2]] δόγματα **D** || **222** καὶ om. **D** | φύσει post τὸ transp. **D** || **226** τὰ τοῦ[2] om. **C**

P **212** τὴν ἀρετὴν αἰδ. πολ.: cf. **2,198–199**; **7,139–140**

5

IN LAVDEM GEORGII ACROPOLITAE

Georgio Acropolitae praeceptori, qui laudationem quandam Theodori conscripserat, grato animo hanc laudem scriptor noster reddit, ut magistri doctrinam scientiamque valde extollat: nam quae omnia Theodorus noscit atque scit, a Georgio oriuntur. cum vero ambo simul aliquamdiu vixerint studiis omnino devincti, praeceptor et discipulus, inter se intime arteque coniuncti, adversus insidias omnium inexpugnabiles fiunt.

Vir doctus A. Heisenberg carmen iambicum a Georgio Acropolita confectum[1], et ab ipso fortasse Georgio epistulis Theodori praefationis loco praepositum ut scripta amici aequalibus commendaret, noscitavit esse laudationem Theodori quam, a Georgio conscriptam, Noster hoc significat opusculo[2]. cum vero circa a. 1252 epistularum liber Theodori in lucem venisset[3], verisimillimum est Nostrum hanc Georgii Acropolitae laudem circa ipsum a. 1252 protenus confecisse[4].

1 Ed. Heisenberg, Georgii Acropolitae opera, II, 7–9.

2 Cf. Heisenberg, op. laud., XVII.

3 Cf. K. Krumbacher, Geschichte der byz. Litteratur von Justinian bis zum Ende des ostr. Reiches (527–1453), 287; Heisenberg, op. laud., VIII.

4 Cf. etiam A. Ph. Markopoulos, Ἐπετ. ἑταιρ. Βυζ. σπ. 36, 1968, 107 et adn. 3.

Τοῦ αὐτοῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι
τοῦ υἱοῦ τοῦ ὑψηλοτάτου βασιλέως κυροῦ Ἰωάννου τοῦ
Δούκα ἐγκώμιον εἰς τὸν μέγαν φιλόσοφον κυρὸν
Γεώργιον τὸν Ἀκροπολίτην

1. Πάντας μὲν ἄλλους δεῖ θαυμάζειν τοῖς λεγομένοις καὶ 5
ὑπερεξαίρειν σου τὰ νοήματα καὶ ὑπεράγασθαί σου τὴν
οἰκονομίαν καὶ τὸ κάλλος τῶν λόγων, ὡς μεγαλύνειν, ὦ
φιλτάτη μοι κεφαλή, τὸ μὲν διὰ τὴν φράσιν τε καὶ τὴν
καλλιέπειαν, τὸ δὲ διὰ τὸ ὑψηλὸν αὐτῶν καὶ πυκνόν, τὸ
δὲ διὰ τὴν πρόθεσιν τὴν ὀρθήν, ἣν κέκτηται ⟨τὸ⟩ πρός 10
με ἀγαθὰ φρονεῖν καὶ καλά. ἐμὲ δὲ μηδὲν δεῖ τι καινὸν
δοξάζειν αὐτῶν οἰκειωθέντα τοῖς οἰκείοις τῶν λόγων
σου θησαυροῖς· οὐκ ἂν γὰρ ἄλλως εἰς ἃ περὶ ἐμὲ γέγρα-
φας εἰσῆξα τὸν νοῦν, εἰ μὴ πρότερον ἐξ ἐκείνων ἤντλησα
τὰ νοήματα. πολλαχῶς γὰρ διαιρουμένου τοῦ λόγου καὶ 15
διὰ τῆς ἐπιστήμης διαφόρως τεχνουργουμένου συνάγε-
ται αὖθις καὶ πάλιν εἰς μίαν ἀρχὴν τὴν φιλόσοφον, ἧς οἱ
ποταμοὶ παμπληθεῖς ἐκρέουσιν ἐκ τῆς γλώττης σου εὐ-
φραδμοσύνην καὶ γλυκασμὸν τοῖς εὐφρονοῦσι παρέχον-
τες. καὶ κατὰ τὸν θειότατον Πλάτωνα ἡ φιλόσοφος 20
διελοῦσα διὰ τῆς ἐπιστήμης διαίρεσις τὰ ἀντιδιαιρού-
μενα τῇ τεχνολογίᾳ πάλιν συνῆξεν εἰς ἑαυτὴν ὡς εἰς
ἀρχὴν καὶ πηγὴν οὐκ ἰσότητι ὁμοιώσεως, ἀλλ' ἐξουσιό-
τητι κυριώσεως. οὕτως γοῦν διαιρούμενος ὁ λόγος παρὰ
τῆς ἐπιστήμης τε καὶ ἑνούμενος ὡς εἴσπερ τινὰ κρα- 25

F **20 sqq.** cf. Plat. soph. 252 b; 253 c

L **2** κυρίου **C** ‖ **3** κυρὸν] κύριον **C** om. **D** ‖ **6** ὑπεξαίρειν **D** | ὑπερ-
άγασταί **A** ‖ **8** τὴν^2 om. **D** ‖ **10** τὸ inserui ‖ **11** φρονεῖν scripsi:
-νοῦν codd. ‖ **14** εἰσήξα **BA** ‖ **19** εὖ φρονοῦσι *x* εὐφραινοῦσι
A ‖ **21** διαιλοῦσα **A** ‖ **25** εἴπερ **D**^{ac}

τῆρα χρυσοῦν ἐξεκενώθη πλουσίως εἰς σὴν ψυχήν,
ἄνθρωπε· καθαρωτάτην καί γε ταύτην εὑρὼν καὶ ῥύπου
ἀμιγῆ τέλεον, ἧς τὰς ἐκ λόγου καὶ διαλόγου ἐκβλύσεις
ἄλλους μὲν ἀνθρώπων τοὺς κρείττονας εἰς θαῦμα φέ-
30 ρειν δεῖ πρὸς ἄλλους ἐξ ἄλλων αὐτὰς διαφημίζοντάς τε
καὶ πέμποντας, ἐμὲ δὲ τέρπεσθαι μόνον τὸν οἰκεῖον
ὁρῶντα ἐπαινούμενον καὶ ὅτι περὶ τοῦ ἐμοῦ ἀγαθοῦ δι-
δασκάλου οἱ λόγοι τῶν εὐφημιῶν πρὸς ὕψος αἴρονται.
σύνθεσις γὰρ καὶ διαίρεσις ἀγαθὰ τὰ ἀμφότερα ἀρί-
35 στως διότι τεχνολογοῦνται παρὰ τῆς ἐπιστήμης ὁμοῦ·
καὶ ὁ ἐπιστήμων ἐμὸς διδάσκαλος καὶ τὸ συντιθέμενον
περὶ ἐμοῦ γράμμα αὐτοῦ καὶ τὸ διαιρούμενον ἐγκωμίων
ἐμῶν ὑπόθεσις, καὶ τὰ ἄμφω περὶ ἐμοῦ τοῦ μηδενὸς ὄν-
τως εἰς τὸ καλόν. συνῆλθε τῷ λόγῳ καὶ γὰρ ἡ σχέσις
40 καὶ τῇ σχέσει συνέδραμεν ἡ ἐπίτασις, αὖθις τε ταύτῃ ἡ
γλυκύτης τοῦ λόγου συνεπεισέρρευσε· καὶ ἐγκωμιάζου-
σιν οἱ λόγοι τὸν λογογράφον καὶ τὸν αὐτοῦ ἐκείνων γεν-
νήτορα νοῦν. τίς γε ἄρα ἀκροώμενος τούτων οὐ γάννυ-
ται, οὐκ ἐνθουσιᾷ, οὐκ εἰς ὕψος πτεροκροτῶν αἴρεται
45 ταῖς φρεσὶ καὶ ἀεροβατεῖ διὰ τὴν ἰσχὺν τῆς τοῦ λόγου
γλυκύτητος; οὕτως γοῦν οἱ πάντες οἶμαι τούτων ἀκροώ-
μενοι πάσχουσι πάθη ἀγαθὰ καὶ καλὰ καὶ μακαριστοί
εἰσί τε καὶ νομίζονται, ὥσπερ λυπρᾶς οἱ μὴ αὐτῶν ἀκη-
κοότες ἐκ τοῦ ἐναντίου τύχης εἰσὶ καὶ ὑπάρχουσιν. ἀλλ'
50 εἴπερ καὶ τῆς γλυκύτητος τῶν λόγων τις ἀποστῇ καὶ τὴν
οἰκονομίαν ἐθέλῃ ἀνερευνᾶν, ὥστε θαυμάζειν ἢ κολά-
ζειν καταλλήλως ὅπερ καὶ εἰς ταύτην εὕρῃ, προχωρήσει

L **26** τὴν ante σὴν add. **D** ‖ **28** διὰ λόγου **D** ‖ **29** ἀνθρώπους **C** ‖ **32** ἀγαθοῦ om. **A** ‖ **44** ἐνθουσίᾳ **C** ‖ **46** γοῦν] οὖν **C** | τούτων] πάντων **D** ‖ **50** καὶ[2] om. **D** ‖ **51** ἐθέλει **BAD**

οἶδ' ὅτι πρὸς ἄβυσσον ἐπιστήμης καὶ πρὸς ἄσχετον γνώσεως.

2. Τοιαύτη γὰρ ἡ τοῦ ἐμοῦ διδασκάλου πολύκρουνος 55
τῶν λόγων ῥοή, διειδεστάτη καὶ ἀμιγὴς ἀθόλωτός τε
καὶ δαψιλής, ἀένναος ὁμοῦ τε καὶ ἀνεπίμικτος, καὶ εἰς
γῆν προελθοῦσα καρποφορεῖ καὶ ἐπὶ τὰς ἀκάνθας ἀναβλαστάνει καὶ ἐπ' ἐμοὶ τῷ ξηρῷ καὶ ἀνίκμῳ λίθῳ εἰσρεύσασα ἤντλησεν ἅπερ ἐκκεκένωκε πρότερον καὶ ἐξ 60
αὐτῶν ἐγκωμίων περὶ ἐμοῦ πανήγυριν ἔστησε. δᾳδουχοῦσι τοίνυν λόγοι διδασκάλου τὸν φοιτητὴν καὶ τὸν
ἐσβεσμένον τῆς αὐτοῦ γνώσεως λύχνον ἀνάπτουσι φωτοχυσίαις ταῖς λογικαῖς. θαυμαστὴ καὶ γὰρ καθέστηκεν
ἡ πανήγυρις, καινοτρόπως τε ὁμοῦ καὶ ξενακούστως ἐγ- 65
κωμιάζεται ὁ ἐγκωμιάζων, ὅτι νόμους ἐγκωμίων οἱ λόγοι
τούτου καταβεβλήκασιν, ὅπερ μὴ δόξῃ καινὸν μηδὲ τοῖς
ἀνεπιστημόνως ξένον τὰς βίβλους ἀναγινώσκουσι· καίτοι γε Ἀχιλλέα καὶ Ἀγαμέμνονα, καὶ τοὺς οὓς ἡ Ἰλιὰς
διαλαμβάνει, Ὅμηρος ἐξυμνῶν ὑμνεῖται μᾶλλον ἢ ἐκεί- 70
νους ὑμνεῖ. ὥσπερ γὰρ ἐν λειμῶνι τίς τινι μὴ ἐλθὼν
τρυφᾷ δέ, εἰ καὶ πόρρω, τῶν τούτου καρπῶν, ἐξ ὧν συνιέναι δύναται οἵων φυτῶν εἰσιν οἱ καρποί, οὕτω καὶ τὴν
Ὁμηρικήν τις διερχόμενος ποίησιν γνῶναί γε ἂν εἴη, εἰ

F 53 cf. Georg. Acrop. vers. in epp. Theod. Duc. Lasc. 3 = II 7 Heisenb. – W. καὶ γνώσεως ἄβυσσον οὐ μετρουμένην || **58–60** cf. Georg. Pis. hexaem. 40–42 = 312 Tart. || **63–64** φωτοχυσίαις ταῖς λογικαῖς: cf. ps.-Dionys. Ar. div. nom. 4,6 = PG III 701 a 6–7

L **57** τε **B**^sl^ || **60** πρώτερον **A** || **63** λύγχνον **A** || **68** ξένων **C**

M **71** ὡρ(αῖον) **D**

75 βουλητὸν αὐτῷ, τὸν ταύτης γεννήτορα. ἔχει μὲν γὰρ οὕτως ταῦτα καὶ καθὼς εἴρηται. τίς δ' ἂν διὰ τούτους τοὺς λόγους οὓς γέγραφα, οὐχ ὅτι γέγραφα, ἀλλ' ὅτι φύσει τὸ ἀληθὲς ἔχουσιν, ἐκ τῶν λόγων τοῦ πρός με ἐπαίνου, οὓς λεοντιδὴς ψυχὴ ἐξηρεύξατο, οὐ νοήσει
80 οἷόν ἐστι μῆκος καὶ πλάτος καὶ βάθος τῆς ἐρευξαμένης αὐτούς; οἷος γάρ ἐστιν ὁ νοῦς, ὁ λύχνος αὐτῆς, ἀκολούθως καὶ αὕτη ἐστὶ καὶ οἱ λόγοι οἱ παρεπομένως ἐκρέοντες. τὸ παροιμιῶδες ἤδη διὰ ταῦτα βοῶ· "ἐκ τοῦ κρασπέδου τις γινώσκει τὸ ὕφασμα". πότερον οὖν διὰ
85 ταῦτα ἐρῶ καὶ τὸ Δαυϊτικὸν ῥητὸν παρῳδῶν, εἰ καὶ ἀληθὴς τοῖς πολλοῖς ἡ τούτου δόξῃ παρῴδησις· *ἀνέβη* καὶ γὰρ ὁ ἐμὸς διδάσκαλος *εἰς ὕψος* θεῖον καὶ ἄπειρον καὶ πλειστάκις *αἰχμαλωτίσας* σοφίας *αἰχμαλωσίαν δέδωκε δόματα* ἐγκωμίων καλλίστων *τοῖς ἀνθρώποις* τοῖς δεξαμέ-
90 νοις τὸν λόγον αὐτοῦ, 'οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματός' *τινων* 'οὐδὲ ἐκ θελήματος' *σαρκός*, 'ἀλλ' ἐκ' τοῦ 'θεοῦ' καὶ τῆς αὐτοῦ διδαχῆς εἰς τὸ τῆς φιλοσοφίας ἀνηνέχθησαν ὕψος καὶ ἀξίους ἐγκωμίων αὐτοὺς ἐποίησαν. πρὸς ταῦτα γοῦν τίς ἆρα ἐρεῖ αἰχμαλωτίσαι ἐκ τοῦ
95 διδασκάλου τὸν λόγον, ἢ ἆραι τὴν διδαχὴν ἐκ τοῦ φοιτητοῦ, τοῦ μὲν ἐγκωμιαζομένου, τοῦ δέ γε κατὰ χάριν ἐγκωμιάζοντος; οὐκ ἔστι τις ὁ αἰχμαλωτεύσων· ἀπέστη

F **81** ὁ νοῦς, ὁ λύχνος αὐτῆς (sc. τῆς ψυχῆς): cf. Plat. ex. gr. Phaedr. 247 c 7–8 || **83–84** Diog. V 15 = CPG I 252,2–3 Macar. III 66 = CPG II 162,5–6 Apost. VI 90.91 = CPG II 389,2–3 || **86–89** Septuag. ps. 67,17 Paul. ep. Eph. 4,8 || **90–92** ev. Ioh. 1,13

L **75** post γεννήτορα spatium vacuum octo litterarum rel. **B**[r] || **83** καὶ ante τὸ add. **D** | βοῶν **C** || **86** post ἀληθὴς spatium vacuum decem litterarum rel. **B**[r] || **87** καὶ[1] **B**[sl] || **91** τινων οὐδὲ ἐκ θελήματος ex homoeot. om. **A** | τοῦ **B**[sl] || **95** ἆραι] ἆρα **D**

γὰρ ‘ὁ ὀλοθρευτής’, ἐπειδὴ ἄγγελος κυρίου ἡμῶν προΐσταται. ἐρωτῶν δέ τις “τίς ὁ ἄγγελος”, εἰρήσθω “ἡ φιλοσοφία ἐστί”, τὸ κάλλιστον χρῆμα, ὁ οὐράνιος θησαυρός, ὁ κοινὸς πλοῦτος ἐξ οὗ πλουτοῦσι καὶ οἱ μὴ γινώσκοντες ὕλης πλούσιοι, εἰ τέως τε οὐ γινώσκουσι κρίμα συνιστῶντες πρὸς ἑαυτοὺς δι’ αὐτὸ καὶ τοὺς φύσει νοεῖν ἐθέλοντας τυφλώττοντες τὸ καλόν. τυφλὸς γὰρ ὁ πλοῦτος τῷ κωμικῷ ἐδοξάσθη καθὼς ἀληθές· τυφλοῦται καὶ γὰρ ἡ κεχηνυῖα ψυχὴ πρὸς αὐτὸν καὶ πάσχει τοῦ παθήματος ἄξιον. (100, 105)

3. Πολύς μοί ἐστιν ὁ σκοπὸς νῦν, ἐπειδὴ ἐπαινεῖν ἠρξάμην τὸν λόγῳ πλούσιον, δέδοικα δὲ διὰ τοῦτο καὶ παραιτήσασθαι βούλομαι μήπως, ἀτέχνως τεχνολογῶν καὶ πλοῦτον λόγου νομίζων ἔχειν, ὅμοιόν τι πάθω τυφλῷ ἔνθεν κἀκεῖθεν παρασυρεὶς κρημνῷ τε πέσω κακίας ἀτέχνως ὡς πορευόμενος ἐπὶ τρίβους οὐ λείας ἀλλὰ δυσχερεῖς καὶ ἀνεπιβάτους πολλοῖς. τῷ τοί γε καὶ πελαγίζων ἐν γαλήνῃ καὶ νηνεμίᾳ καί γε κρεῖττον τοῦ λέγειν ἐν τῷ μὴ λέγειν διὰ τὴν σιωπὴν πορευόμενος, ἐπ’ ὄλεθρον φέρω τοῦ γέλωτος τὴν πενιχράν μου διάνοιαν. ὅμως θαρσοποιεῖ με τὸ φίλτρον καὶ τείνει με κατὰ ψυχὴν τὸ κρυπτὸν κέντρον τῆς συνειδήσεως καὶ ἐλέγχει με ἡ ἀντιστροφὴ καὶ πάντα ἐξ ὧν ἔχω προσφέρειν με πείθουσι τὸ προαιρεῖσθαι καὶ μόνον αἴτιον προβαλλόμενα. διὰ τοῦτο κεφαλαιωδῶς τὸν λόγον ἀναρροήσας, ἐπαινῶ τοῦ διδασκάλου τοῦ καλοῦ κἀγαθοῦ μου τοὺς φύσαντας, ἱλαρότητος παρὰ πάντας καὶ ταπεινώσεως (110, 115, 120)

F **98** Septuag. ex. 12,23 sap. 18,25 Paul. ep. Cor. 1,10,10 || **104–105** cf. Ar. Plut. 90

L **102** εἰ] οἱ **B**ac**C** | κρῖμα **C** || **105** τυφλοῦτε **B**ac || **106** κεχηνήα **B**c || **108** πολὺ **C**

125 μεστοὺς καὶ οἵους ὁ τούτων καρπὸς ἐκείνους ἀπέδειξεν. εἰ δὲ καὶ πρωθύστερον τὸ κεφάλαιον γέγραπται καὶ οὐ καθὼς ἀπαιτεῖ τὸ ἐγκώμιον, μηδείς μου ἀτάκτως διὰ τοῦτο καταμωκήσαιτο, ὅτι οὐδὲ ἀτεχνίας λόγος τοῦτο πεποίηκεν, ἀλλὰ μέγεθος ἀληθείας καὶ φόβος ἀνεπιχει-
130 ρήτου ἐπιχειρήματος· ταὐτὸν γάρ ἐστιν εἰπεῖν ἠνδραποδισμένον πρὸς ἀγῶνας φέρειν τινὰ καὶ ἐμὲ πρὸς τὴν καταρχὴν τὸν νοῦν συνεισάξαι τούτου δὴ τοῦ βουλεύματος.

4. Εὐγενὴς μὲν οὖν ὡς ἐκ τῆς ἀρετῆς τῶν πατέρων
135 καὶ πολλῷ μείζων ἐκ τῆς πατρίδος· σιωπᾷ μου γὰρ τὸν λόγον καὶ ἡ τούτου πατρὶς ἡ Κωνσταντίνου καὶ βασιλίς, νῦν δὲ δούλη καὶ ὀνομαζομένη πολυμερῶς, εἰς μέρη διαιρεθεῖσά τε καὶ ὀνομαζομένη ἐκ τῶν μερῶν. ἔργα δὲ καὶ ἀγῶνες καὶ τὸ περὶ λόγους αὐτοῦ γενναῖον καὶ τὸ
140 εἰς ἐπιστήμας ἐπιστημονικὸν καὶ τὸ πρὸς σύμπαντα λόγον ἀκέραιον καὶ ὅ τι θαρρῶ λέγειν τὸ εἰς τοὺς περὶ λόγον πάντας στέφος νικητικὸν ἀναστομοῦσι τὸν ἐμὸν λόγον καὶ ἀναρροοῦσι τὴν ἔκχυσιν. ἀποστολικῶς ἐκβοήσω· *ὡς λύχνος* 'ἐν αὐχμηρῷ' *ἀπεφάνη* 'τόπῳ' ὁ λόγος
145 αὐτοῦ· καὶ Δαυϊτικῶς μελῳδήσω διὰ λύρας μουσικώτερον λογικῆς ᾄδων· 'ὁ ποταμὸς' τῆς συναγωγῆς 'τοῦ θεοῦ ἐπληρώθη ὑδάτων' τῶν λόγων αὐτοῦ. τί γοῦν ταῦ-

H **137–138** Constantinopolim a Latinis captam 1204.IV.13 significat

F **125** cf. Apost. VI 90 = CPG II 389,4 ἐκ τοῦ καρποῦ τὸ δένδρον || **144** Petr. ep. 2,1,19 || **146–147** Septuag. ps. 64,10

L **126** εἰ δὲ] ἰδὲ **BA** || **127** μοι **D** || **135** μεῖζον **C** | γὰρ] δὲ **A** || **138** διαιρεθεῖσαν **A** || **139** αὐτὸ **C**

τά ἐστι καὶ τίς ἡ τόση συνίζησις τῶν χειλέων μου καὶ τίς
ἡ βραδυτὴς τῶν λόγων μου καὶ τίς ἡ τῆς φωνῆς μου
ἀνειμένη βοή; καὶ τίνι τρόπῳ τὰ μεγάλα κατασταθμίζω 150
λόγοις ἐν σμικροτάτοις καὶ τὰ ὑπὲρ φύσιν καὶ αὐτοφυῶς
λάμποντα ὡς ἐν ὑέλῳ καὶ *ἐν ἐσόπτρῳ* τουτῳὶ τῷ λόγῳ
δηλοποιῶ; τὰ συγγενῆ γὰρ δηλοῦσι τὰ συγγενῆ καὶ τὰ
ὁμοούσια τῇ φύσει τὰ ὁμοούσια. πόρρω πότερον καί γε
ὁ λόγος τῶν αὐτοῦ κατορθωμάτων καθεστηκὼς ὁ ἐμὸς 155
ἐκθειάζει καὶ μᾶλλον ἢ ἐγκωμιάζειν ἐπιχειρεῖ· τὸ γὰρ
ἀδύνατον ἀληθείᾳ οὐ συμφυές, τὰ δὲ τῆς ἀληθείας
ἀπροσφυῆ φύσει συνίστασθαι ἀδύνατον. ἀδυνάτως γοῦν
καὶ ἀπροσφυῶς καὶ ὁ ἐμὸς λόγος ὢν πρὸς τὴν αὐτοῦ
μεγαλόνοιαν, οὐκ ἐγκωμιάζει ἀλλὰ μᾶλλον θαυμάζει τὰ 160
κατ' αὐτόν. ἐρῶ δέ τι καὶ ἕτερον· οὐδεὶς ἐξ ἑτέρου ἐγκω-
μιάζεται, ὥσπερ οὐδέ τις ἁμαρτάνει τινί· ὁ γὰρ ἐγκωμια-
ζόμενος καὶ ἐγκωμιάζων πρὸς ἓν ἀντιστρέφουσιν, οἷον ἀρί-
στως Κυναίγειρος ἔπραξε καὶ ἀρίστως περὶ αὐτοῦ Πο-
λέμων λογογραφεῖ· ἀρίστως ἄρα οἴκοθεν ἐπαινεῖται Κυ- 165
ναίγειρος. οὐδεὶς γὰρ ἐξ ἄλλου ἔχει τι ἀγαθόν, ἢ οἰκεια-
κὸν καὶ πρότερον ἐκ τῆς ἄνω δυνάμεως, ἐξ ἧς οὐσιώθη
καὶ διαμένει τὸ πᾶν, καί γε τὸ μὲν ὂν λογικόν, τὸ δὲ
ὡσαύτως δοῦλον τοῦ λογικοῦ. ἐκεῖθεν αὖθις σοφίζονται

F 152 Paul. ep. Cor. 1,13,12 || **153–154** τὰ συγγενῆ[1] ~ τὰ ὁμοού-σια[2]: cf. Arist. probl. 896b11 || **164–165** cf. Polem. Cyneg. = 3–17 Hinck

L **148** τόση συνίζησις] τοσαύτη ζήτησις **D** || **148–149** καὶ τίς ἡ βραδ. τῶν λόγων μου ex homoeot. om. **A** || **152** ἐσώπτρῳ **A** || **158** γοῦν] οὖν **C** || **160** οὐκ om. **D** || **164 sq.** πολαίμων **BA** πολοείμων **C** || **167** πρώτερον **A**

M **161** ση(μείωσαι) **D**

170 καὶ σοφοὶ καὶ συνετίζονται βασιλεῖς καὶ τύραννοι σωφρονοῦσι πρὸς τὰ ἀλόγιστα. χαλιναγωγεῖ γὰρ ὁ λόγος πάντας καὶ τῶν δεόντων εἰσάγει τὰ συγγενῆ. τί γοῦν εἴπω ἄρτι κἀγώ; χαλιναγωγήσει κἀμὲ νῦν καὶ πρὸς τὴν ἀρχὴν ἐπανάξει με τοῦ σκοποῦ, καὶ εἰς ὅπερ ἠρξάμην
175 λέγειν σοφῶς συνενώσει με, ἢ ἀπολελυμένον ἰδὼν καταλείψει με καὶ ἄλλα ἀντ' ἄλλων λέγειν ἐάσει με; οὐκ ἔστι τοῦτο τοῦ λόγου, ἀλλὰ μᾶλλον παιδαγωγήσει με καὶ πρὸς τὴν τοῦ ἐμοῦ διδασκάλου ἐγκωμιαστικὴν ὑπόθεσιν ἤδη τρέψει με. πότερον οὖν ἀληθῶς περὶ τούτου εἰρήσο-
180 μαι καὶ ὃ μηδὲν ἔχει λαβεῖν, ὥστε ἀνὴρ φιλοσκώμμων ἐκεῖνο μὲν πειράσεται λαβεῖν, ὅπως αὐτὸν σκώψῃ, ἐμοῦ δὲ καταγνώσεται, ὅτι χαριεντιζόμενος τῷ διδασκάλῳ ἀπρεπῶς γράφω τὰ μὴ ὀρθά. ἔχουσι γὰρ οἱ κακοὶ τὴν σφῶν κακίαν τροφήν· ἀπερρίφθω γοῦν διὰ τοῦτο εἴ τί
185 ἐστιν ὑπερβολικὸν καὶ οὐ κατ' αὔξησιν λέξω τὰ ἅπερ ἤδη καὶ λέξω, ἀλλὰ κατ' αὐτὴν τὴν ἀλήθειαν.

5. Πέντε τινὰς νέους ὁ ἐμὸς δεσπότης καὶ βασιλεὺς εἰς τὴν τῶν γραμμάτων προελόμενος μάθησιν, ἐκρεύσασαν ταύτην πρότερον ἀναλωθείσης τῆς Κωνσταντίνου
190 παρὰ τῶν Ἰταλῶν, τῇ παιδείᾳ αὐτοὺς δέδωκεν ὥσπερ πέντε αἰσθήσεις, δι' ὧν φωτίσαι τὸ σῶμα ἐθάρρει τοῦ λόγου ἐσβεσμένου καθεστηκότος. εἷς ἐκ τούτων ὁ ἐμός ἐστιν Ἀκροπολίτης ὁ νῦν ὑμνῶν καὶ ὑμνούμενος, ὁ λέγων

H **187 sqq.** cf. Georg. Acrop. hist. 32 = I 49,6 sqq. Heisenb. – W. Niceph. Blemm. autobiogr. I 49,3 sqq. = 26 Munit. || **187** ὁ ἐμὸς δεσπότης καὶ βασιλεύς: Iohannes III Ducas Batatzes || **189–190** vid. ad **137–138**

L **173** post χαλιναγωγήσει spatium vacuum trium litterarum rel. **B**r || **174** εἰς om. **D** || **180** λαβὴν **C** || **184** τρυφὴν **D**

M **183** γνω(μικόν) **A**

καὶ ἐν τῷ λέγειν ἑτέρων τινὰ κατορθώματα ὑπερηρμένον πάντων δεικνύων αὐτὸν καὶ ὑπερνικῶν ὄντως ὅτι ἐν 195
λόγῳ τοὺς λέγοντας· καὶ ἐκεῖνοι μὲν οὖν σὺν τούτῳ ἐδόθησαν εἰς διατριβὴν ἀγαθὴν καὶ ἔργον αἴσιον καὶ θεάρεστον, ὁμοῦ δὲ πάντες εἰς τὸν σκοπόν, ὁμοῦ καὶ ἅπαντες ἠγωνίζοντο. κοινὰ τὰ ἆθλα κατ' Ἰσοκράτην· ἴση εἰς πάντας τῆς παιδείας ἡ ῥίζα ἦν, ἀλλ' ἶσοι καὶ οἱ καρποί· 200
δυνάμει μὲν οἱ καρποί, ἡ ῥίζα δὲ ὡς ὑπάρχουσα ἠγωνίζοντο ἄμφω. ὑπὲρ γῆν ὁ ἥλιος ἔλαμπε καὶ συνέλαμπε σὺν αὐτῷ ὁ πρὸς λόγους ἐμὸς ποδηγός· νύκτωρ μὲν συνῳκίζετο ἀναγνώσει τὸν νοῦν, ἐν ἡμέρᾳ δὲ εἶχε τὴν εὐφυΐαν ἄριστον σύμμαχον, *ὅπλον ἀμφίστομον* δι' οὗ *διεῖλεν* 205
ἀεὶ τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος καὶ προσελάμβανε τὸ καλὸν καὶ τὸ ἀντίθετον ἀπεδίωκεν. οὕτως γοῦν ἀρίστως ἐν γράμμασι διελθὼν καὶ τὴν σύμπασαν γνῶσιν τούτων ὡς ἐρωτιῶν τὴν καλὴν κἀγαθὴν συλλαβών, ἐκολλήθη μου τῇ ψυχῇ λογικῶς τε καὶ πρακτικῶς τοὺς τούτου 210
συναγωνιστὰς ἐντελεῖς εἰς φιλοσοφίαν ἀφείς. εἴτε γοῦν θεὸς τοῦτο ἐκέλευσεν εἴτε τύχης φορὰ λελέχθω ἐποίησεν· ἀμφιβάλλει μου ἡ διὰ γλώττης φωνή, πιστοῖ μοι δὲ ὅτι θεὸς ἡ διάνοια. ταῖς γὰρ μεγίσταις ὁρμαῖς τῶν διοι-

H **209 sqq.** Georgius Acropolita διδάσκαλος Theodori Ducae Lascaris post a. 1246 factus, cf. praef. Heisenb. in Georg. Acrop. op., II, pp. VII–VIII C. N. Constantinides, Higher Education in Byzantium in the Thirteenth and Early Fourteenth Centuries (1204 – ca. 1310), Leucosiae 1982, 17–18 et vid. Georg. Acrop. hist. 63 = I 131,5–8 Heisenb. – W.

F **199** cf. Isocr. antid. 295 || **205–206** Niceph. Blemm. stat. reg. 2,14 = 48,2–3 Hung. – Ševč.

L **196** οὖν **B**[sl] || **200** ἴσοι **C**

P **205–206** cf. **4,90–91**

215 κήσεων θεὸς ἀεὶ συνεισέρχεται· συνεισῆλθε γοῦν θεὸς εἰς ἡμᾶς, ἐπειδὴ δύο ὑπήρχομεν. *ὅπου* 'γάρ εἰσι δύο ἢ τρεῖς [ἀντὶ τοῦ καὶ τρεῖς] συνηγμένοι', αὐτός φησι, *δι' ἐμέ, ἐκεῖ εἰμι* ἀρχὴ καὶ μέση τε καὶ τελείωσις. ὑπῆρχεν οὖν διὰ τὴν φυσικὴν ἀγαθωσύνην εἰς ἡμᾶς ὁ θεός.

220 Καιρὸς προέβη καὶ ὁ διδάσκαλος μὲν ἐδίδασκεν, ἐγὼ δὲ ἠκροώμην τῶν λόγων αὐτοῦ φωνῆς, ὥσπερ θεοῦ. ἐπεὶ δὲ λόγος ἐστὶ τὸ κάλλιστον χρῆμα, ᾧ διαφέρει τὸ λογικὸν καὶ τὸ ἄλογον, ἐπόθουν αὐτὸν καὶ ποθῶν ἐπεθύμουν καὶ ἐδιδασκόμην τοῦτον ἐξ αὐτοῦ καθαιρόμενος.
225 καὶ πᾶσαν οὖν αὐτὸς ἐμὲ φιλοσοφίαν ἐδίδαξεν, ἐπειδὴ 'ἄλλος αὐτὸς' ὡς φίλος ὑπῆρχεν ἐμός. ἐγὼ δὲ οἷα σκληρὸς ὢν ἐπόθουν μέν, ἀλλ' οὐ κατελάμβανον καὶ ἔπασχον τοῦ τῆς Πηνελόπης ἱστοῦ τὸ ἀτελὲς πάθημα. καυχᾶσθαι γὰρ οὐ συμφέρει μοι· τότε γάρ, εἴπερ καὶ λό-
230 γους, ἦν ἀγαθόν, καινοφανεῖς εἴρηκα, ὅτε αὐτοὺς καὶ κατέλαβον. ἐπεὶ δὲ ἥμαρτον τοῦ σκοποῦ καὶ τοὺς λόγους μὲν οὐ κατέλαβον, πονηρὰ δὲ γῆ ἐφάνην, ὅτι τὴν διδαχὴν ὡς ἀγαθὴ οὐκ ἐνεκολπωσάμην, ἐν τίνι νῦν καὶ 'καυχήσομαι', *ἢ* κατὰ τὸν μέγαν Παῦλον 'ἐν ταῖς ἀσθε-
235 νείαις' μου; ὑπήρχομεν οὖν ἄμφω ἐν κόποις καὶ πόνοις, ἐν ἐρημίαις πολλάκις οὐ τοπικαῖς τε καὶ ταῖς τῆς γῆς, ἀλλὰ φόβου καὶ ἐρημίας ἐν στενοχωρίᾳ πολλάκις, κἂν πλατὺς ἡμῖν ὁ λόγος ἐλέγετο ἐν ἀγρυπνίαις συχνάκις,

F **216–218** ev. Matth. 18,20 || **226** Arist. eth. Nicom. IX 1166 a 31–32 Plutarch. am. mult. 2,93 e = I 187,25 sq. Poh.-Gärt. Porph. vit. Pyth. 33 = 51,18 des Pl. Synes. ep. 100 = 169,1–2 Garz. et vid. Strömberg p. 76 || **228** cf. Hom. Od. II 104–105 || **234–235** Paul. ep. Cor. 2,12,5

L **215** συνέρχεται **D** || **217** ἀντὶ τοῦ καὶ τρεῖς ut glossam seclusi || **219** ἀγαθοσύνην **AC** || **224** τοῦτον om. **B**[ac] *x* || **225** φιλοσοφίαν] σοφίαν **D** || **233** ἐνεγκολπωσάμην **A** || **238** συχνάκις (συ συχν. **B**)] πολλάκις **A**

μαινομένων μὲν τῶν ἀλόγων ἐν τούτῳ, ὅτι λόγος πλατύνεται. στερρὸς γὰρ ἦν ὁ διδάσκαλος, ἁπαλὸς τῇ φύσει ὁ 240
φοιτητὴς καὶ ἐσφράγιζεν εὐτυπώτως εἰς αὐτὸν τοὺς λόγους αὐτός. διήλθομεν οὖν οὐκ ἐν ἀκαριαίῳ καιρῷ τὰ μαθήματα, ἀλλὰ χρόνῳ πολλῷ καὶ κόπῳ καὶ ὁ περὶ λόγους ἡμῖν ὑπῆρχε τροφὴ σκοπός. ἐπεὶ δὲ ῥᾷστον τὸ ἔργον ἐγένετο καὶ ἐγὼ μὲν προέβην εἰς προκοπήν – 'καὶ 245
πέτραν γὰρ κοιλαίνει ῥανίς' –, αὐτὸς δὲ σύμμαχον εὗρεν ἔχειν τὸν φοιτητήν, πάντα ἕως δεῦρο τὰ ἡμέτερα πρὸς τοὺς ἅπαντας γεγόνασιν ἀπροσμάχητα. τολμῶ τι λέγειν καὶ ἀποφαντικόν· τίς ἡμῖν ἀντιστήσεται, τίς νομίσει νικῆσαι, τίς λόγον ἐρεῖ καθ' ἡμῶν; στρατηγεῖ γὰρ 250
αὐτός, ἕπομαι δὲ ἐγὼ πρὸς αὐτῷ καὶ ἡ νίκη οἶδ' ὅτι ὡς ὑπερεκτανθήσεται. ἄριστος γὰρ ὑπάρχει κατὰ φύσιν λόγου καὶ ἀπροσμάχητος· ἀνθηρὰ μὲν ἐκρέων θαμὰ τὰ λόγια, μέλισσαν δὲ ἐκμιμούμενος ἄνθη τε πρότερον συλλεξάμενος ὡραῖα, μέλιτος γλυκασμὸν κατεσκεύασεν 255
ἐξ οὗ ποτίζει τοὺς φοιτητάς, τοὺς δ' ἀντιθέτους τιτρώσκει κέντρῳ λόγων αὐτοῦ. εὐβουλία ὑπάρχει πολλὴ παρ' αὐτῷ καὶ πλῆθος εὐφυΐας καὶ ἀγχινοίας. Ξενοφῶν γάρ, εἴπερ εἶδε τοῦτον, ἐθαύμασε, καὶ ἐπῄνεσε τὴν φρό-

H **239** μαινομένων μὲν τῶν ἀλόγων: Christophorum Zabareiotam, ut opinor, significat; cf. **9,376. 446 sqq. 705 sqq. 753 sqq.**

F **242** ἐν ἀκαριαίῳ καιρῷ: cf. Ar. Plut. 244 Dionys. Hal. ant. Rom. VIII 70,5 = III 233,5 Jac. Lucian. Tim. 23 = I 319,19 Macl. al. ‖ **245–246** Apost. XV 19 = CPG II 632,13 ‖ **255** cf. Septuag. ps. 118,103 et vid. Georg. Acrop. vers. in epp. Theod. Duc. Lasc. 61 = II 9 Heisenb. – W.

L **246** ῥαννὶς **D** ‖ **249 sq.** νομήσει **C** ‖ **254** πρῶτον **C** ‖ **256** ποτίζει] φωτίζει **A** ‖ **257** τῶν ante λόγων add. **D** ‖ **259 sq.** φρόνησιν] γνῶσιν **C**

260 νησιν Νέστωρ ὁ γηραιός. ἐπειδὴ οὐκ ἐν χρόνῳ καὶ Σολομὼν διαγράφει τὸ γῆρας, ἀλλὰ φρονήσει τὸ γῆρας ὁρίζεται, πραότης αὖθις καταστέφει αὐτὸν καὶ σύνεσις σὺν τούτῳ κοιτάζεται. ποῦ τοίνυν εἰσὶν οἱ νῦν σοφοὶ καὶ ἀσύνετοι; ἐλθόντες ἄρτι ἐνταῦθα ἰδέτωσαν σοφόν τε
265 καὶ σώφρονα καὶ ταῖς ὅλαις ἀρεταῖς περιδέξιον· συνέδραμε καὶ γὰρ ἡ μάθησις τῇ φρονήσει καὶ ἡ φρόνησις τῇ νοήσει καὶ ταύταις ἡ εὐφυΐα καὶ παντοῖον αὐτὸν ἐποίησαν. πότερον οὖν ἀνοίγων οὗτος τὸ στόμα καὶ λόγους λέγων τοὺς εὐπρεπεῖς καὶ *χελιδόνος φωνῶν* εὐστρο-
270 φώτερα καὶ ἀηδόνος μελουργῶν εὐσημότερα καὶ *περιστερᾶς* ψαλμικῆς, ἧς τὰ *μετάφρενα χρυσαυγίζουσι,* πράττων διὰ λόγου ἀκεραιότερα, οὐκ ἂν ἑλκύσῃ πᾶσαν εἰς τὸν πόθον αὐτοῦ ψυχήν; ναί, ναί, πᾶσαν οἶδα καλῶς ἑλκύσει καὶ λίαν ὑπερελκύσει· ἑλκύσω γοῦν καὶ ἐγὼ τὸν
275 ἐμὸν λόγον διὰ τοῦτο ἐκ τοῦ ῥητορεύειν εἰς ἀπόδοσιν τοῦ σκοποῦ καὶ στέρξω εἶναι εἰς τὴν ἀγάπην αὐτοῦ ἐν πολλῇ τῇ χαρᾷ. ἡγοῦμαι γὰρ δίκαιον μένειν εἰς ταύτην, ὥσπερ εἰς στερέμνιον καύχημα.

6. Ἐπειδὴ καὶ χρόνος καὶ λόγος καὶ ἀρετὴ καὶ φιλία
280 ἡμᾶς συνήρμοσε, ταῦτα νῦν σοι φέρει, ὦ μεγάθυμε ἄνερ, μαθητής, ὃν ἐπῄνεσας· οὐκ ἐξ ἐκείνου δέ εἰσι ταῦτα, ἀλλὰ μᾶλλον ἐκ σοῦ καὶ δηλοποιεῖ σοι διὰ τῶν

F **260–261** cf. Septuag. sap. 4,8–9 ‖ **269** Septuag. Is. 38,14 ‖ **270–271** Septuag. ps. 67,14

L **266** καὶ[1] post γὰρ transp. **D** ‖ **271** ψαλτικῆς **C** ‖ **272** λόγον **C** | ἀκεραιότητα **D** ‖ **273** τὴν ante ψυχήν add. **D** ‖ **277** μένην **C** ‖ **280** συνήρμωσε **BA** | φέρω **D** ‖ **281** ὃν (ὂν **B**)] ὢν **A**

M **277** f. μένειν **C**

λόγων τούτων τὴν ἔνδον διάθεσιν. τεκμαίρεται γάρ τις τὰ ἀφανῆ ἐκ τῶν φανερῶν καὶ γινώσκει τὰ μὴ ὁρώμενα ἐκ τῶν ὁρατῶν, καὶ τοὺς διαλογισμοὺς τῆς καρδίας ἐκ 285 τῶν λόγων τοῦ ταύτην ἔχοντος ἐκμανθάνει καὶ γινώσκει διὰ τῶν ἐγγυτάτω τὰ πόρρωθεν. ἔστι γὰρ ἔστι κατὰ δεύτερον λόγον νοεῖν τινα τὰ ἀφανῆ ὀργανικαῖς καὶ μαθηματικαῖς ἀποδείξεσι, καθὼς ἐδίδαξας, καθὼς ἡμᾶς διηρμήνευσας, ἣν χάριν οὐδέποτ' ἄν σοι ἀποφλήσωμεν. 290 νυνὶ δὲ προσέθηκας καὶ ἑτέραν χάριν, ἐγκώμια καὶ πανηγύρεων ἀφορμάς, ὁ δοὺς τὰ πολλὰ καὶ νῦν διὰ τοῦ ἐγκωμίου ὑπεραγάσας ἡμᾶς. ἡμεῖς δ' ἀντιστρέφομεν ἀντὶ τῶν πολλῶν τὸ εὐτελὲς τοῦτο λόγιον καὶ λύομεν τῇ λύσει αὐτοῦ πάντα ὅσα πρὶν συνεδέθησαν, καθὼς ὑπε- 295 σχέθημεν, ἀνυποκρίτως καὶ οὐκ ἐν ἄκροις χείλεσιν, ἀλλ' ἀληθῶς τε ὁμοῦ καὶ πιστῶς. τοῖς πρόσθεν δὲ ἡ συντήρησις ἀγαθὴ οὐχ ὅτι δὲ ⟨...⟩ ὅτι συντηρεῖν εἰς ἀγάπην καὶ φιλίας ἀξίωμα· ἀλλ' ἡ τῶν ἀπευκταίων συντήρησις τοῦτο γὰρ καὶ συντήρησις, ἣ καὶ κατὰ φύσιν φυλάττοι 300 χάριτι τοῦ Χριστοῦ τοὺς ἐν ἀληθείᾳ συντηρουμένους καὶ 'ἐν σκέπῃ τῶν πτερύγων' αὐτοῦ.

F **283 sqq.** cf. ex. gr. ps. – Plat. def. 414 e 1–3 || **302** Septuag. ps. 16,8; 35,8 al.

L **283** ἔνδοθεν **D** || **295 sq.** ὑποσχέθημεν **A** || **298** post ὅτι δὲ lacunam statui || **300** ἡ **C**

6
AD AMICOS QVI IPSVM HORTABANTVR VT VXOREM DVCERET

De fortuna sibi adversa Theodorus queritur: nulla enim sui ipse culpa adsidue cruciatur atque excruciatur, haud dubie propter siderum quandam vim maleficam; attamen non ita fortuna fractus est, ut verum loqui non audeat, cum sine vero philosophiam profiteri non liceat. iis qui prosapiae nobilitatem et magnificentiam throni ipsi proponunt, statim dicit se contemptum mundi velle consectari, ut philosophiae toto corde animoque inserviat; iis vero qui ipsum hortantur ut uxorem (iterum) ducat, se totum philosophiae iam esse fatetur: qua de re numquam atque numquam philosophiam recusaturum.

Hoc opusculum Theodorus profecto conscripsit post mortem Helenae uxoris immaturam, quae exeunte a. 1250 cecidisse videtur.

Τοῦ αὐτοῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι
τοῦ υἱοῦ τοῦ ὑψηλοτάτου κυροῦ Ἰωάννου τοῦ Δούκα
ἀπολογητικὸς πρός τινας τῶν φίλων αὐτοῦ
ὠθοῦντας αὐτὸν νύμφην ἑαυτῷ ἀγαγέσθαι

1. Πολύ μοί ἐστι τὸ πειράζον κλυδώνιον· ἄγαν με ὁ πε- 5
ριστροβῶν ἀεὶ ταράττει καὶ νῦν· οὐδέποτέ τι διενήνοχεν
ὁ συνεχὴς *χείμαρρος τῶν ἀνομιῶν μου* τοῦ νῦν πλημμυ-
ροῦντός μοι κλυδασμοῦ τῶν ἁμαρτιῶν· πάντα μοί ἐστι
δεινά· καὶ ἐν οἷς ἐλπὶς ἐτρέφετο ἀγαθῶν προάγγελοι
κακοδαίμονες φθάνουσι. τί τοῦτο; ἐλάλησα ἆρα ἐγὼ *ἐν* 10
συνεδρίῳ ματαιότητος καὶ διὰ τοῦτο *μετὰ τῶν παρανομούν-*
των ποτήριον κοινὸν ἀνομίας μοι εὐτρεπίζουσιν; ἐθέμην
εἰς ὕψος ὀφρύων κόμπου λόγον *χειλέων μου ἐκπορευόμε-*
νον τοῦ ἐμοῦ στόματος, καὶ οὕτως εἰς γῆν *κατασπῶσί* με *οἱ*
ὑπερήφανοι; 'ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἴκῳ' κατα- 15
σκοπεύων τὰ κρυφίως γιγνόμενα, περὶ ὧν καὶ λέγειν
αἰσχρόν μοι καθέστηκε, καὶ διὰ τοῦτο 'ὥσπερ σκεῦος
ἀπολωλὸς' καὶ ὡς 'περίψημα πάντων' γέγονα οὐχ 'ἕως
ἄρτι', ἀλλ' ὥς μοι μαντεύονται οἱ περὶ τὰ δεινὰ δεινοὶ
ἀεί τε καὶ συνεχῶς; βαβαὶ τοῦ τῶν ἀνομούντων ἀνομή- 20

H **5–6** ὁ περιστροβῶν ἀεὶ: diabolus, ut opinor (cf. nostrum in ep. 58 = 87,12–14 Festa)

F **7** Septuag. reg. II 22,5 ps. 17,5 || **10–12** Septuag. ps. 25,4 || **13–14** Septuag. num. 32,24 deut. 23,24 ps. 88,35 Ierem. 17,16 || **14–15** Septuag. Sophon. 3,6 || **15** Septuag. ps. 101,7 (οἴκῳ] οἰκοπέδῳ) || **17–18** Septuag. ps. 30,13 (ὥσπερ] ὡσεὶ) || **18–19** Paul. ep. Cor. 1,4,13 (πάντων περίψημα)

L **2** κυρίου **C** || **3** ἀπολογητικὸν **C** || **6** ταράττει] πειράζει **C** | τι om. **D** || **8** μοι] μου **C**

ματός τε καὶ ἀτοπήματος. ἐγὼ μὲν οὐδὲν ἐκ τούτων ἐποίησα, πιέζομαι δὲ καθεκάστην καὶ μὴ πάσχων ὡς παθαινόμενος. πάλιν ἐρῶ· τί τοῦτο; ποῦ ἐστι πρόνοια; ποῦ δὲ θεός; ἀπρονοήτως κινούμεθα, εἰ τοῦτό ἐστιν,
25 ὑπὲρ τὸν ἐν Ἀβδείροις Δημόκριτον. ὁ Σταγειρίτης πλεῖστα γελάσεται· τῷ γὰρ φιλοσόφῳ γνῶσίς ἐστι, τῶν ἀσόφων δὲ πάντων ἀσοφία καὶ ἀγνωσία κατακρατεῖ. διὰ τοῦτό τις ἐκμελῶς ἁρμόζων ᾄσει ἀνήνυτα· πότερον γοῦν ταῖς χορδαῖς τις τὴν εὐρυθμίαν ἐνθεὶς πρότερον, ὑστά-
30 τως ᾄσει ᾄσματα εὔρυθμα καὶ οὕτω θέλξει τῶν ἀκροωμένων ταῦτα τὰ αἰσθητήρια. ἐγὼ δὲ οἵᾳ ἡρμόσθην χορδῇ, οἵᾳ στροφῇ, οἵᾳ τάξει καὶ εὐρυθμίᾳ, ἐπειδὴ καὶ τῶν ἡλιακῶν πρὸς ἄστρα συνόδων ἀπέτυχον; τοῦτο γὰρ οὐχ Ἑρμοῦ καὶ Ἡλίου ἢ Ἄρεος, πρὸς Δία καὶ Ἥλιον,
35 ἀλλὰ Κρόνου μὲν τοῦ ψυχροτάτου, ὡς εἴπῃ τις, ἔστι τὸ ἀποτέλεσμα, πρὸς Σελήνην συσχηματιζομένου καὶ ἐκτελοῦντος τοῖς νεογενέσι μερόπεσι τοιαῦτα οἷά εἰσι καὶ τὰ ἐμά. ἑλληνίζω τῇ γλώττῃ ἄκος ἔχων ἐν ταύτῃ τὸ ὀρθόδοξον διανόημα, εἰ καὶ τῇ τῆς πικρίας ἐκτροπῇ
40 καὶ ἡμιτροπῇ παρεκκλίνω τοῦ δέοντος, καθὰ δὲ καὶ τὰ τῶν μαινομένων παρεκκλίνουσι διανοήματα. Εὐρυβάτης οὔκ εἰμι, οὔτε καθ' Ὅμηρον ὡς Φυσίγναθος, καὶ διὰ τοῦτο ᾄδω ἔκμελα, κλαγγὴν μὲν ἤχων ἐκπέμπων ἀτερ-

F 25 cf. Democr. fr. A 39.43.69.70 D.-K. || **26** cf. Arist. metaph. I 982 a 8–11 || **35–36** cf. Maneth. apotelesm. V 49.54–55 = 101 Koe. anonym. Byz. Maximi περὶ καταρχ. paraphr.[1] = 62,11–12 Rad. Col. || **41** Εὐρυβάτης: cf. Hom. Il. I 320; II 184; IX 170 Od. XIX 247 || **42** cf. Hom. batr. 56

L 22 (et **184.203**) καθ' ἑκάστην **D** || **27** πάντων **B**[c] || **29** τις om. **C**

μάτιστά τε τέλη ἀποπληρῶν· οὔτε μὴν τῶν ἀφώνων
ἰχθύων ἀμουσότερος, ὡς μηδὲ τὸ οἱονοῦν πνεῦμα εὔηχον 45
τῆς ἐμῆς ὀπῆς τοῦ στόματος ἐκπορεύεσθαι, οὔτε πάλιν
λαγωώδης ὑπάρχω τῇ καρδιακῇ συμπήξει, ὥστε καὶ
ψοφοδεὴς εἶναι καὶ τῇ φυλλορροῇ θροεῖσθαι καὶ τοὺς
παττάγους δεδιέναι ἀεὶ τῶν ἀσυστάτων καὶ ἀπαγιώτων
φωνῶν. ἐρῶ γενναιότερον· ταῦτα πάντα πόρρω τοῦ τῆς 50
ἐμῆς ψυχῆς εἰσιν ἀναστήματος. ἐπειδὴ γὰρ τὸν φιλο-
σοφοῦντα δύο σεμνύνουσιν ὁδοί, πρᾶξις δηλαδὴ καὶ
θεωρία, ἐπ' ἄμφω δέ γε ἀλλήλαις εἰς τελειότητα ἡ
ἐλευθεριότης καθέστηκεν – οὐδέπω γὰρ ἄτερ ταύτης
φιλοσοφήσει τις ἐκ βροτῶν –, ταύτην δεῖ με ἀσπάσα- 55
σθαι· ἐν ᾗ καὶ ἅ μοι συνῶσι παγιώσω καὶ ἑδραιώσω, καὶ
περὶ ὧν οὐκ ἔστι μοι ὅλως μερὶς φιλοσοφήσω δι' αὐτῆς
τῆς ἐλευθεριότητος καὶ οὕτως ὄλβον ἐμπορεύσομαι
ἀδαπάνητον, πρᾶξιν δηλονότι καὶ θεωρίαν.

2. Τί γάρ ἐστί μοι κοσμικὴ ἀχρηστία καὶ συμφορὰ 60
ὕλης καὶ σπουδὴ ἔργων αἰσχύνης; κατὰ τὸν σοφώτατον
Πλωτῖνον αἰσχύνομαι, ἄϋλος ὤν, ἀρκύοις δεσμεῖσθαι
ἀπατηλοῖς, οἷς ἐστι μετὰ μικρὸν φυσική τις ἐξ ἀνάγκης
διάλυσις. ἀλλ' ἐρεῖ τις· "Ἔχεις βίου περιφανεστάτην
περιουσίαν καὶ θώκου νεφοδρομοῦντος καὶ ταῖς ὑπερο- 65
χαῖς αἰρομένου τοῦ βασιλικοῦ ἀξιώματος ὕψωμα καὶ γέ-
νους περιβόητον ὄνομα, ὡς ὄρπηξ βασιλικὸς καὶ ὡς εὐ-

F 44–45 cf. Lucian. gall. 1 = I 249,18–250,1 Macl. πολὺ ἀφω-νότερος ... τῶν ἰχθύων Emped. fr. B 74 D. – K. (πάντα τὰ θα-λάττια) φῦλον ἄμουσον hymn. acath. str. 17,2 || **47–48** Greg. Naz. gnom. distich. 59 = 47 Dav. φύλλων λαγωοὺς ἐκφοβοῦσιν οἱ ψόφοι || **62–63** cf. Porph. vit. Plotin. 1 = I 1,1–2 H. – Schw.

L **48** τοὺς om. **D** || **49** πατάγους **D** || **50** ἐρῶ] ὁρῶ **A**

P **44–45** τῶν ἀφώνων ἰχθύων: cf. **9,867**

γενέστατος *σκύμνος λεοντιδής*, καὶ οὐ δεῖ σε μεριμνῶν ἀποχωρεῖν κοσμικῶν, ἐπειδὴ ἐπὶ σοὶ πολλῶν ἐλπίδες
70 σαλεύονται". ἀλλὰ καὶ οὕτως τοῦτό τίς μοι εἴπερ βοήσειεν, οὐ βαδίσω πρὸς τὴν ὑλικωτέραν τιμήν. ἀλλοιοῦνται γὰρ θρόνοι, βίοι δὲ φθείρονται, *ταπεινοῦνται τὰ ὑψηλά*, τὰ γένη ἀλλάσσονται τῇ τιμῇ, πάντα μεταβάλλονται εἰς ἀλλοίωσιν· διὰ τοῦτο δεῖ με μᾶλλον φιλοσο-
75 φεῖν τὴν τῶν πάντων παντελῆ καταφρόνησιν, ἵν' ἐξ ἀνάγκης εὐγενέστερος γένωμαι καὶ μάλα γε βασιλικὴν πλουτήσω οὕτω μᾶλλον ψυχήν. ἀλλ' ἔστι τι καὶ θειότερον· διττῶν οὐσῶν τῶν ἀρχῶν, καθ' ὕλην φημὶ καὶ ἀϋλίαν, διπλοῦν ἐννοήσει τις καὶ τὸν ἐκ τούτων πηγνύμε-
80 νον ἄνθρωπον, ὡσαύτως δὲ καὶ πλοῦτον διττὸν καὶ πάντα διπλασίως τὰ τῶν βροτῶν. τοίνυν οὖν διαφέρει πολλῇ δόξῃ τῆς ὕλης τὰ ἄϋλα, καὶ τῆς ἐπὶ γῆς αὐτοκρατορίας ἡ φιλόσοφος διαγωγή, καὶ τοῦ πλούτου ἡ τῶν θείων νοημάτων ὀλβίωσις, καὶ τοῦ ἐκτὸς ἀνθρώπου
85 καλλωπισμοῦ ἡ ὡραιότης τῆς ἐν νοῒ ἀρίστης φιλοσοφίας, καὶ πάντων τῶν ὑλικῶν ὑπερτεροῦσιν ἀσυγκρίτως τὰ ἄϋλα. διὰ τοῦτο ἀπελεύσομαι ἐν χερσὶ φέρων μέδιμνον γνώσεως εἰς τὴν διειδεστάτην κρήνην τῆς ἀρίστης φιλοσοφίας, καὶ ἀπαρρύσομαι παντελῆ μὲν κόσμου φυ-
90 γῆς διδαχήν, ἀντλήσω δ' εἴ τι πᾶν ὑψιπετὲς εὐγενέστατον διανόημα ὃ πόρρω καί γε τῆς ὕλης ἔχει τὴν ἔκβλυσιν. πότερον οὖν εἰ ἔστι μοι ἐμπόδιον εἰς αὐτὸ τοῦτο ἢ πρόσκομμα, καί γε τοῖς θίγειν μου βουλομένοις οὐδὲν

F **68** Septuag. gen. 49,9 deut. 33,22 pr. 30,30 al. || **72–73** Septuag. Is. 10,33 Ez. 21,31 || **89–90** κόσμου φυγῆς διδαχήν: cf. Plat. Theaet. 176 a Phaed. 65 c–d

L **77** πλουτίσω **A** || **84** τοῦ om. **D** || **87** φέρον **BAD** || **93** τοῖς] τὸ **D**

κοινόν μοί ἐστιν, ἐπειδὴ ὁ δρῶν οἷς ἔχει τὴν οἰκειότητα
δρᾷ, καὶ διὰ τοῦτο οὐδείς μου θίξει διὰ τὸ ἀνόμοιον. 95
3. Ἐλευθέρως δὲ ἄρα γε βαδίσω πρὸς ἀρετὴν καὶ
τοῦτο πλοῦτος πολὺς ὑπὲρ τὸν Περσέως καὶ ἐνδοξότε-
ρος. ἀλλὰ τίς ἂν διέλθῃ πολυμεροῦς ὕδρας θήρατρα καὶ
παμπληθεῖς συμπλοκάς, ὅς δὴ καὶ τὴν τῆς ἐλευθεριότη-
τος πατήσει ὁδόν; οὐδεὶς οἶμαι ἕτερος ἢ μόνος ὁ κατὰ 100
γνώμην φιλόσοφος. τούτῳ οὖν ἐξομοιωθῆναι βούλομαι·
οὔπω γὰρ βαναύσων ἀνδρῶν συνεμίγη διανοήμασι τὸ
ἐμὸν διανόημα, οὔτε μὴν μαρσίπιον ἐδόξασα καὶ ἐλά-
τρευσα διὰ τοὺς ἔνδοθεν ὀβολοὺς καὶ τὴν δραχμὴν τὴν
ἀνόνητον, ὡς οὐδὲ ἐξαργυροῦν τὰ πάντα κατὰ τὸν πα- 105
ροιμιώδη λόγον μεμάθηκα, καὶ διὰ τοῦτο ἕως καιρὸς
ψαύειν δεῖ με φιλοσοφίας, ἧς οὐδὲν ἐν κόσμῳ ἐς ψυχὴν
ὑπερηράσθην τε καὶ ἠγκαλισάμην. διὰ ταύτης οὖν πενη-
τεύων πλουτήσω καὶ ἀεὶ πενέσομαι τῶν ἀπευκταίων αὐ-
τῆς. φιλοσοφία καὶ γὰρ ὁμοίωσίς ἐστι τῆς θείας ἀκρό- 110
τητος, ᾗ καὶ οὐδείς ἐστιν ὕλῃ μιγνύων τὰς τοῦ νοὸς αὐ-
τοῦ πορείας ὅς ψαῦσαι ταύτης ἀξιωθείη. τὰ γὰρ ὅμοια
ἐν διαιρέσει δοκιμασθέντα συνάγονται, καθὰ καὶ τοῖς

H **97** Macedonum rex, cuius divitias laudat Plutarch. Aemil. 272 f–273 b; 275 b 3–6 = II¹ 215,18–216,10; 219,23–26 Ziegl. nec non Liv. XLV 40 praeterea cf. Niceph. Blemm. stat. reg. 5,74 = 64–66 Hung. – Ševč.

F **105–106** proverbium laudat quod non repperi || **110–112** cf. Plat. Theaet. 176 b Phaed. 66 b; 67 a; 79 c–d; 82 c–84 b Plotin. enn. I 2,1,3–4; 2,3,5–6

L **103** μαρσίπιον scripsi: μαρσήπιον codd. || **109** τὰ ἀπευκταία B^{ac} || **111** μιγνύων B^{c}

P **97** cf. **9,847–848**

ἀνομοίοις ἡ διαίρεσις φέρει διαστολήν. τοῦτ' αὐτὸ καὶ
115 φιλοσοφία δὴ ἐκτελεῖ· τοὺς διϊσταμένους μὲν γὰρ τῶν
νοημάτων αὐτῆς ἀποσκορακίζει καὶ ἀποπέμπει κενοὺς
πάσης γνώσεως, κενωτέρους δὲ καὶ ὀνήσεως. ὢ πόποι,
τῇ περικλονήσει τῶν ἀστάτων καὶ ἐκροῇ τὸν ἄρρευστον
ἐς ψυχὴν ὄντα ὑλική τις διαφθείρει σχέσις ἐκρέουσα,
120 ἄλγεα δὲ νοερὰ ἐς νοῦν προξενεῖ ἡ τοῦ χοὸς σύμπηξις
τῷ δι' ὃ ὑπάρχει αὐτή. παπαί, οὐδείς ἐστι φιλόσοφος
ἐκτὸς τοῦ φιλοσοφοῦντος καὶ μαινομένου καὶ ἀτιμαζο-
μένου παρὰ τῶν μὴ σοφῶν. ἐγὼ δὲ σοφίᾳ καὶ παιδείᾳ
δι' ὅλης ζωῆς ἕως ἄρτι ζήσας τε καὶ φρονήσας, σοφίαν
125 καὶ ἕως τέλους ἀσπάσομαι κἂν ἔμπορος γένωμαι, κἂν
πένης τοῖς κατὰ κόσμον φανήσωμαι, κἂν ὀνειδισθῶ
παρ' οἷς οὐκ ἔστι σοφία. πῶς γὰρ ἄλλως εἰς τὸ αἴσχι-
στον αὐτὴν ἀγάγῃ τις καὶ ἀτιμάσει καὶ λοιδορήσει, εἰ
μὴ οὐ μετείληχε ταύτης τοῦ θησαυροῦ; κἂν ναυαγήσω
130 τὰ τῆς σωματικῆς νεὼς καὶ ἀπορρίψω τὰ ὑλικὰ κτή-
ματα πρὸς τὴν τληπαθῆ 'τοῦ βίου' ἀγρίαν 'θάλασσαν',
κἂν σάρκας ξανθῶ, κἂν νεῦρα τρωθῶ καὶ μυελοὺς ἐκ-
μυελισθῶ, κἂν ὅ τι πᾶν εἶδος δέξομαι λυπηρόν, οὐδέ-
ποτε ταύτης διαζευχθῶ, ὅτι καὶ αὐτὸς 'ὁ πάντων δε-
135 σπότης ἠγάπησεν αὐτήν'. αὕτη μοί ἐστιν ἔρως, αὕτη μοι
σύνοικος, αὕτη μοι περιεπλάκη καὶ ἀεὶ περιπλέκεται καὶ
περιπλακήσεται. εἰ δὲ καὶ τὴν γυναικωνίτιδα ἁρμοσθῆ-
ναί μοι ἐπειχθῶ, ζηλοτυπήσει αὐτὴ καὶ πλειόνως ἐράσε-

F **121–122** cf. Plat. sympos. 218 b 3–4 … τῆς φιλοσόφου μανίας τε καὶ βακχείας … ‖ **129–134** cf. Plat. apol. 29 d 3–4 ἕωσπερ ἂν ἐμπνέω καὶ οἷός τε ὦ, οὐ μὴ παύσωμαι φιλοσοφῶν ‖ **131** Orig. hom. in Ierem. 18,5 = III 156,22 Klost. ‖ **134–135** Septuag. sap. 8,3

L **118** καὶ om. **D** ‖ **121** δι' ὃ] διὸ **A** ‖ **132** καὶ] κἂν **C** ‖ **133** δέξωμαι **D**

ταί μου τῆς συμμιγῆς, ἐπεὶ καὶ πολλαχῶς σὺν ἐμοὶ γε-
νομένη ἔτεκε τέκνα τὰ λογιώτατα, Ὀρφαϊκὰ μὲν τὸ πρὶν 140
καὶ ἔμμουσα, Ἑρμαϊκὰ δ' ὕστερον καὶ ἀσύγκριτα. αὕτη
πόρρωθεν ἐμοῦ διάγοντος ἔργα πράττει ὠφέλιμα, ἐμὲ
ἐκ τούτων κλεΐζουσα· οὐδὲ γὰρ ἐννεαδικῇ μηνιαίᾳ ἀπ-
αριθμήσει ὠδίνει ταύτης τὰ νεοφύτευτα κυήματα, ἀλλ'
αὐτομάτως καρποφορεῖ Ἑρμαϊκά τινα τέκνα ἄρτια πο- 145
λύν μοι διὰ ταῦτα τὸν ἔπαινον φέρουσα. αὕτη πανταχόσε θριγγώμασι τῶν οἰκείων μελῶν ἀσφαλίζει μου τὰς
βουλὰς καὶ παντοίως οἰκοδομεῖ μοι τὰ ἀνεπίληπτα. διὰ
τοῦτο φιλήσω μᾶλλον αὐτὴν ἢ ποθήσω τὰ ἀπευκταῖα
αὐτῆς· πάντα γὰρ ἐξ αὐτῆς, ἐπεὶ καὶ τὸ ἀναγκάζειν 150
τινά με εἴς τι αὐτῆς, καὶ οὐδὲν ὃ μὴ αὐτῆς εἴποιμι ἔχειν
τὸ στάσιμον. ταῦτα τοίνυν ἐν νοΐ ἀκριβωσάμενος καὶ
πλειστάκις ἀνερευνήσας ἠγκαλισάμην αὐτὰ καὶ ἠγά-
πησα ὡς μέρη δηλαδὴ τῆς ἀγαθῆς ὄντα φιλοσοφίας, ἐν
ᾗ καὶ ψυχὴν καὶ νοῦν καὶ ζωὴν καὶ σῶμα ἐστήριξα, τῶν 155
μὴ σοφῶν ἀποχωριζόμενος. αὕτη με καὶ ἑδραιώσει καὶ
στηρίξει καὶ δείξει τηλεφανῆ· οὐ κόσμου ὡραιότητι καλ-
λωπίζουσά μου τὸ ἀκαλλὲς σῶμα καὶ ἄκοσμον, ἀλλ' ἐν
νοεραῖς ἐννοίαις λίθων ὥσπερ ὑπὲρ λαμπηδόνας στιλ-
πνώσασά μου τὴν διάνοιαν δείξει ταύτην πολύκρουνον 160

H **140–141** opera poëtica (PG CXL 772–780) et ad philosophiam pertinentia (PG CXL 1267–1396; N. Festa, Giorn. Soc. Asiat. It. 11, 1897–98, 97–114 et 12, 1899, 1–52; H. Hunger, Jahrb. Österr. Byz. Ges. 8, 1959 = Variorum Reprints, CS XXI, Londinii 1973, XX, 128–135; Ch. Th. Krikonis, Analecta Vlatadon 49, Thessalonicae 1988) significat

L **139–140** σὺν ἐμοὶ post γενομένη transp. **C** || **140** ὀρφανικὰ **C** || **148** οἰκοδομή **B**^{ac}

χεύμασι βρίθουσαν λόγων εἰλικρινεστάτων, καὶ φιλοσοφεῖν ἐς ἀεὶ ταύτῃ δαψιλῶς πρυτανεύσει τὸ ἀγαθόν. πρὸς τὸ κατὰ φύσιν τῶν δωρημάτων αὐτῆς φιλοσοφία καὶ γὰρ *καθαίρει τὰ τοῦ νοὸς ὄμματα ὑπὸ τῶν ἄλλων ἀπο-*
165 *σβεσθέντα κακίας ἐπιτηδευμάτων*. τῷ τοί γε οἱονεὶ μιγνυμένη τῷ νοερῷ ἐγκυμονεῖν αὐτὸ ποιεῖ ὑψηλὰ θεωρήματα, καὶ πῶς μὲν αὐτῇ συλλαμβάνεται, πῶς δ' αὖ αὐτῇ καταβάλλει τὰ σπέρματα, καὶ ὡς εἴπῃ τις αὕτη καὶ ὡς σπείρων ἐστὶ καὶ ὡς σπέρμα καὶ καλοκἀγαθίας
170 ἀέννаος θησαυρός. τῇ μὲν οὖν δεῖ δόξαν ἀεὶ ὡς εἰκὸς ἀπονέμειν πάντας βροτούς, τοὺς αὐτῆς δὲ οἰκειακοὺς περικατέχειν τοὺς προὔχοντας ὥσπερ τι σέμνωμα ἀριπρεπὲς ἀνακτορικὸν καὶ βασιλικόν, καὶ τοῖς λόγοις αὐτῶν καταγλαΐζεσθαι μᾶλλον ὑπὲρ πορφυρίδος ὡραϊ-
175 σμὸν ἔνυλον, τοὺς δὲ ταύτης διϊσταμένους ἐξοστρακίζειν ὡς μὴ ὄντας ἀξίους τῷ βασιλικῷ προσεγγίζειν ὑψώματι.

4. Τί γάρ ἐστιν ὕλη καὶ τί χρήματα καὶ τί τρυφή, ἐπεὶ λυθῆναι μέλλουσιν ἅπαντα; τὰ δὲ μέρη τῆς ἀρίστης φιλοσοφίας οὔποτ' ἂν εἰς τὸν αἰῶνα ἀφανισθήσωνται.
180 ἐγὼ δὲ ταύτῃ διὰ ταῦτα περιπλακεὶς ἐς ἀεὶ βιωτεύσομαι σὺν αὐτῇ· καλὴ γάρ ἐστί μοι κουροτρόφος, ἐπειδὴ καὶ νεάζοντά με παραλαβοῦσα καὶ τῇ ἔνδοθεν ἑστίᾳ ταύτης εἰσαγαγοῦσα παντοδαπῶς με ἐξέθρεψεν ὄψα μοι καθεκάστην προσάγουσα ἀγλαὰ καὶ νεκταρώδη κε-

F **161–162** cf. Plat. apol. 38 a 2–3 || **164–165** Plat. resp. VII 527 e 1–2 || **170–172** cf. nostrum in ep. 1 = 2,18–19 Festa ὅστις δὲ σοφίαν ἀσπάζεται, ἀναγκαίως οἶδ' ὅτι καὶ τοὺς σοφοὺς ἀσπάζεται

L **167–168** συλλαμβάνεται, πῶς δ' αὖ αὐτῇ om. **A** || **179** τὸν fere evan. in **B**, om. **AC** | ἀφανισθήσεται **D**

ράσματα, καὶ ποικίλως με καλλωπίζουσα ἐξ ἐνδυμάτων 185
ὧν αὐτὴ καθέστηκεν ἱστουργὸς καλλιγραμμίᾳ πολλῇ
τούτοις ἐπενδύει με. τὸ δὲ καινότατον, δοῦλον παραλα-
βοῦσά με καὶ εἰς ὑπηρεσίαν ὧν ἠβούλετο ἄρασα καὶ
πλημμυρήσασα ἐν ἐμοί, ἐξ ἐμοῦ μὴ ἔχουσά τι τὸ ἀγα-
θόν, ὑστάτως καὶ κατεφίλησε στόμα μιγνύουσά μου τῷ 190
στόματι, καὶ ἐκ τῶν ὁμοδούλων ἐμὲ μόνον ἄρασα σὺν
ἐμοὶ ἐταινιώθη τὸ ἐρυθρὸν ἐκ τῆς ἄνωθεν αὐτοσοφίας
σχοῦσα τὴν προτροπήν. "Ἆρα γε οὖν τί τοῦτο; αὐτομά-
τως ὁ δοῦλος δεσπότης καὶ ὑπερήρθη τῶν ὁμοδούλων ὁ
σύνδουλος καὶ τῇ δεσποίνῃ συγκάθηται καὶ συνεδριάζει 195
ταύτῃ βασιλικῶς ὁ χθὲς καὶ πρότριτα αὐτῇ παριστάμε-
νος μετὰ δέους; ὄντως ἐστὶ τοῦτο καινότατον", – ταῦτα
τῶν συνδούλων λόγοι καὶ τῶν φθονούντων. ἐγὼ δὲ ἐς
ἀεὶ εἴθε ταύτῃ καὶ περιπλέκοιμι· ἥτις καὶ περιέχοι τὴν
κεφαλήν μου, ἐκ πάντων τῶν βλαβερῶν καὶ τοῦ κοσμι- 200
κοῦ με τέλεον ἐκλυτρώσαιτο κλυδασμοῦ καὶ νοερώτερον
ἀπεργάσαιτο, ἵνα καὶ κρειττόνως αὐτῇ περιπλέκωμαι
καὶ τῶν αὐτῆς ἀξιωμάτων ἐν προβιβασμῷ καθεκάστην
ἐπεντρυφῶ.

F **196** χθὲς καὶ πρότριτα: cf. Karathanasis pp. 64–65, n. 112

L **189** τὸ om. **D** || **199** περιέχει **D** || **201** κλυδωνισμοῦ **D**

7
TRACTATVS AD GEORGIVM MVZALONEM DE SVBIECTORVM IN PRINCIPEM OFFICIIS

Georgio Muzaloni percontanti quomodo erga principem subiecti se gerere debeant, Alexandri Magni exemplum eiusque amicorum Theodorus affert: nihil enim magis est principi optandum, quam candidorum subiectorum amicitia fidusque animus. tria flumina vero ex amicitia manant: aliud sensus satiat, aliud totum liquidius est, aliud denique liquidissimum ac omnium sordium immune, atque omnes sitim explent apud illud flumen ad quod uniuscuiusque tendat ingenium. itaque triplex est natura amicitiae: secundum voluptatem, secundum utile, secundum virtutem. qua re principem quidem, qui suo animo omnia tria genera amicitiae firme comprehendit, diligere et colere maxime expedit: post deum enim, principes largitores omnium virtutum atque bonorum sunt. subiectos igitur amicos principum fideles esse oportet, ut eorum auxilium et benivolentiam perpetuo assequantur.

Mulier docta Eurydice Lappa-Zizicas[1] hoc opusculum exeunte a. 1254 conscriptum esse statuit, cum in epistula quadam a. 1254(?) confecta Theodorus Muzaloni nuntiavisset se libellum quendam ad eum missurum[2]. haud sciam tamen an iste libellus idem ac tractatus noster sit.

1 E. Lappa-Zizicas, Un traité inédit de Théodore II Lascaris, Actes VIe Congr. Int. Ét. Byz., I, Parisiis 1950, 121–122.

2 Theod. Duc. Lasc., ep. 209 = 260–261 Festa.

Τοῦ αὐτοῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι
τοῦ υἱοῦ τοῦ ὑψηλοτάτου βασιλέως κυροῦ Ἰωάννου τοῦ
Δούκα πρὸς τὸν Μουζάλωνα κυρὸν Γεώργιον ἐρωτή-
σαντα ὁποίους δεῖ εἶναι τοὺς δούλους εἰς τοὺς κυρίους
καὶ τοὺς κυρίους εἰς τοὺς δούλους 5

1. Ἀλέξανδρος ὁ τῶν Ἑλλήνων μὲν βασιλεύς, Μακεδό-
νων δὲ συστρατιώτης καὶ ἀρχηγός, ἐκείνων μὲν ὡς ἄρ-
χων, τούτων δὲ ὡς αὐτοῖς συναγωνιζόμενος, πολλὰ καὶ
ἄλλα πυρσοφαῆ κατὰ κόσμον ἀρετῆς ἐστήσατο τρό-
παια, ἐχθρῶν κατασχέσεις, χωρῶν ἁλώσεις, ἐθνῶν παν- 10
δήμους ἀφανισμούς, καὶ πόλεις ὅλας ὁλοκλήρους κόσ-
μου σχεδὸν εἰς τὴν αὐτοῦ εὐνομίαν λαμπρῶς συνεισή-
γαγε. διὰ ταῦτα πάντα κλέος Ἑλλήνων καὶ Μακεδόνων
ἕως τοῦ νῦν κηρύττεται οὗτος, ἀλλ' ὡς κἀμοὶ δοκεῖ καὶ
ἐς ἀεὶ κηρυχθήσεται τοῦτο. καί γε μετὰ πάντων τούτων 15
τῶν κατορθωμάτων τῶν ἀρίστων τε καὶ αὐτήν, ὡς εἰ-
πεῖν, ἀνθρωπίνην φύσιν ὑπερβαινόντων, ἓν πάντων
πραγμάτων ἔσχεν ἐξαίρετον, πολλῷ πλέον παρὰ πάν-
των ἐκ τούτου τιμώμενος ἢ ἐκ τῶν συχνῶν τῆς τούτου
λαμπρᾶς στρατηγίας τροπαιουχημάτων, τὸ δέ ἐστιν ὅτι 20
κατὰ τὰς πέντε αἰσθήσεις δι' ὧν πᾶσα εἴδησις γνωστῶν
πραγμάτων ἀνέρχεται συνεῖναι τῇ πρώτῃ αἰσθήσει, τῇ

F 21–23 fort. conferend. Arist. de an. III 426 b 8 sqq.; 432 a 15–16

L 2–3 τοῦ υἱοῦ ~ Δούκα om. **D** | κυροῦ ... κυρὸν] κυρίου ... κύριον **C** || **5** λόγος ζ' post δούλους add. **A** || **12** σχεδὸν **B**[c] || **14** τοῦ] τὰ **C** || **15** πάντων] ταῦτα **A** || **15–16** πάντων post τούτων transp. **C**[ac] || **16** αὐτήν om. **A** || **17** ἓν] ἣν **A**

τοῦ λόγου κριτικῇ ἐνεργείᾳ, πέντε καὶ αὐτὸς τῆς αὐτοῦ
βασιλικῆς ἀρχικῆς κεφαλῆς φίλους τῆς αὐτοῦ φιλίας
25 ἀξιώσας τετίμηκεν, ὁμοψύχους, ὁμογνώμονας, ἰσορρό-
πους, ἴσα ἔχοντας τῇ αὐτοῦ *εἰλικρινεῖ διανοίᾳ* τὰ τῶν λο-
γισμῶν αὐτῶν διαβούλια. καὶ γὰρ εἰ καὶ τῆς ἐκείνου
κατὰ ψυχὴν Ἀρεϊκῆς ἁρμονίας διΐσταντο, ἀλλὰ τῆς αὐ-
τῆς Ἑρμαϊκῆς κεφαλῆς τὰ βουλητὰ σὺν πάσῃ σπουδῇ
30 διεπέραινον καθὼς ἦν αὐτοῖς δυνατόν. οὓς καὶ φίλους
ἐκάλεσε καὶ δόξῃ ἐσέμνυνε καὶ θεραπείᾳ περιεκάλλυνε
καὶ παντοίως καὶ ἀδιαλείπτως καὶ ἀδιαδόχως καὶ ἀκαι-
νοτομήτως καὶ λαμπρῶς καὶ περιφανῶς αὐτοὺς ὡς οἷα
αὐτοῦ ἀξίους φίλους τετίμηκε. διὸ καὶ πλέον ἐκ τῆς
35 τοιαύτης τιμῆς τῶν φίλων αὐτοῦ ᾄδεται καὶ θαυμάζε-
ται, ἢ ἐκ τῆς τῶν κατορθωμάτων τούτου μεγαλειότητος
καὶ θειότητος. καὶ γὰρ πενταχῶς τὰ τούτων νοήματα
τῇ ἐκείνου νοερᾷ διανοίᾳ συνᾳδόμενα καὶ ἑνούμενα καὶ
τέλη τελοῦντα νοητῶς νοερά, ἐξ ἄκρου Θρᾴκης τὰ τῆς
40 Λιβύης διαδραμεῖν τοὺς δούλους σὺν τῷ δεσπότῃ ἠξίω-
σαν. ὢ φίλου δεσπότου καὶ ὢ δούλων τῶν τῷ οἰκείῳ

H 23–24 exercitus Macedonum duces significat

F 24–25 cf. Isocr. ad Nicocl. 27 φίλους κτῶ … τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας ‖ **26** Plat. Phaed. 66 a 2 Petr. ep. 2,3,1 Bas. Sel. or. 4,3 = PG LXXXV 69 a ‖ **34–36** cf. Niceph. Blemm. stat. reg. 5,75 = 66,3–5 Hung.–Ševč. θησαυροὺς γὰρ οὗτος (sc. Ἀλέξανδρος) τοὺς φίλους ἡγούμενος, ὑφ᾽ ὧν καὶ συνασπίζοιτο καὶ δοξάζοιτο, τῆς ἀρίστης ἀπηύρα κρίσεως ὑπὲρ ὅσους βασιλέας μεγαλυνθείς

L **26** τῆς … εἰλικρινῆς διανοίας **B**^{ac} τ. … εἰλικρινῇ δ. **C** ‖ **28 sq.** αὐτῆς om. **D** ‖ **41** et ubique ὦ **C** (ad **41** ὢ^{2} una cum **AB**)

M **23** ση(μείωσαι) **D** ‖ **26** (εἰλικρι)νεῖ **C**

δεσπότῃ συνδιατιθεμένων καὶ ἡνωμένων εὐνοϊκῶς. ὢ νοερᾶς κεφαλῆς καὶ θείων μελῶν ἀρίστως ἡνωμένων τῇ ἁρμονίᾳ αὐτῆς. ὢ καλῆς ξυναυλίας καὶ ἀγαθῆς. ὢ ἁρμονίας θείας συνισταμένης ἐξ ἀρετῶν καὶ μὴ ἠχούσης 45 ἵνα θέλγῃ κρότῳ ψυχάς, ἀλλ' ἐκ *κρότων χειρῶν* ἄλλων γενομένων ἐκ θάμβους τῶν κατορθωμάτων αὐτῆς πάντας πειθούσης ἡδύνεσθαι καὶ εὐφραίνεσθαι.

2. Οἷα καὶ γὰρ ἀρχέτυποι πίνακες ἀρετῶν ἐν κόσμῳ οὗτοι γεγόνασι φύσεως φιλοτιμίᾳ καὶ σχέσεως 'ἀλύτῳ 50 ἑνώσει' καὶ ἀδιασπάστῳ πλοκῇ. καὶ γὰρ οἱ περὶ τοὺς *ὑψηλοὺς προκαθήμενοι θρόνους* καὶ βασιλικῶς ἐφορῶντες τοὺς ὑπὸ πόδας αὐτῶν, μιμητικῶς αὐτῷ ὁμοιούμενοι, πλειστάκις παμπληθεῖς ῥαίνουσι τὰς δωρεάς, οἷα 'ὑετὸν πρώϊμον καὶ ὄψιμον' εἰς τὰς τῶν δούλων καὶ φίλων αὐτῶν 55 καρδίας ὑετίζοντες. οἱ δὲ τὴν ἄρουραν τῆς ἀκραιφνοῦς αὐτῶν ὑπολήψεως *πρότερον* παντὸς *ζιζανίου προκαθηράμενοι* ποριμωτάτους καρποὺς συχνάκις ἀληθείας ἀποδιδόασιν εἰς τὸν κόλπον τῆς αὐτῶν ἐνδόξου καὶ σεπτῆς κεφαλῆς. τίνι καὶ γὰρ τῶν ἐν κόσμῳ πραγμάτων ἀντι- 60 σταθμισθῇ φιλία καὶ εὔνοια δούλου ἀληθινοῦ; χρήμασι; πράγμασι; κτήμασιν; ἢ τῇ περιττῇ τε καὶ μὴ ὡς χρησίμῃ φαινομένῃ βλακείᾳ πραγμάτων παντοδαπῶν; τέλος γὰρ τούτων ἁπάντων ἐστὶ φθορὰ καὶ λύπη τῇ ἀπουσίᾳ

F **46** Ar. ran. 157 || **50–51** ps.-Athan. Al. de inc. c. Apollin. II 2 = PG XXVI 1133 c 6 || **52** Septuag. Is. 6,1 || **54–55** Septuag. deut. 11,14 Ierem. 5,24 Os. 6,3 Ioel 2,23 Zach. 10,1 || **57** ev. Matth. 13,30 || **60–61** cf. Bas. Imp. exhort. cap. 35 = PG CVII, XXXVII d 11–12 = 62,8–9 Emm. φίλου γὰρ ἀληθοῦς οὐκ ἔστιν ἀντάλλαγμα τῶν ὄντων οὐδέν praeterea cf. Dion. Chrys. or. 3,86 = I 48,22–23 von Arn.

L **44** ὢ[1] om. *x* || **46** τὰς ante ψυχάς add. **D** || **47** γενομένων scripsi (A[pc prob]): γενομένου codd. || **60 sq.** ἀντισταθμησθῇ **BCD**[ac prob]

65 τούτων τὴν τοῦ ταῦτα κεκτημένου καταπιέζει ψυχήν· στέρησις καὶ γὰρ ἐχομένου τῷ ἔχοντι τοῦτο ἀνίαν προξενεῖ. ἀλλὰ τριττῶς σχέσις οὖσα φιλίας τὰς ἐκ τῆς καρδίας ἀγαθοεργίας πάλλει τριττῶς εἰς τὸν οἷον δή τι σχόντα μέρος αὐτῆς.

70 Ἐξ ἧς καὶ τρεῖς γεγέννηνται ποταμοί· ὁ μὲν ἡδύνων τῇ τούτου γεύσει τὰ σωματικὰ αἰσθητήρια, ὁ δὲ λεπτότερος ὅλος τούτου καὶ καθαρώτερος, ὁ δὲ εἰλικρινέστατος ἀμιγής τε πάσης ὑλώδους μίξεως καὶ καθ' αὑτὸν καθαρός, ἡσύχως κινούμενος, ῥεῦμα φέρων ἀληθινόν, οὗπερ 75 μόνοι οἱ τὴν φύσιν σχόντες ὑγιῆ καὶ ἁπλῆν κορέννυνται δαψιλῶς. οὗτος ὅλος ὁ ποταμὸς νοερὸς καὶ πνευματικός. καὶ γὰρ ὅστις διὰ τὸ φύσει ἀγαθὸν καὶ καλὸν εἴς τι πρᾶγμα *διάκειται φιλικῶς* ῥεύματος τοῦ ὄντως ἀληθινοῦ ποταμοῦ φιλικῶς ἀπερρόφησεν. ὁ δέ γε τοῦ τοῦ ἑτέρου 80 ποταμοῦ ῥεύματος κατατρυφῶν ψυχικῶς ὅλως τούτῳ ἡδύνεται, ὃς καὶ διὰ τὸ συμφέρον σχέσιν ἔχει φιλίας, πολλῷ πλέον ῥέπων οὗτος πρὸς ὑλικὰ καὶ τοῦ πρώτου ἀποδιϊστάμενος ἢ ὅσον γῆ πρὸς τὸν οὐρανόν. ὁ δὲ τῷ τρίτῳ ποταμῷ προσπεσὼν καὶ ὅλως ἡδυνόμενος ἐκ τῆς 85 ὑλώδους καὶ βορβορώδους καὶ θολερᾶς αὐτοῦ ἡδονῆς *γεώδης* οὗτος *καὶ σαρκικός,* ἀλλὰ καὶ οὗτος τοῦ δευτέρου τόσον ἀποδιΐσταται ὅσον Τάρταρος πρὸς τὴν γῆν.

F **66–67** cf. ps.-Plat. Axioch. 369 d 3–4 || **67** cf. Arist. eth. Nicom. VIII 1156 a 7; 1162 a 34 m. mor. II 1210 a 6 eth. Eud. VII 1236 a 16 || **78** Arist. eth. Nicom. IX 1166 b 25–26 || **86** Cyr. Al. in Habac. 49 = PG LXXI 920 b 10

L **65** καταπιέζει om. **C** || **66** καὶ **B**[sl] || **72** ὅλως **C** | τούτου om. **A** || **73** μίξεως] πράξεως **C** || **78** ὄντως] ὅλως **A** || **80** κατἀτρυφῶν **B** κατατροφῶν bis scr. **C** || **86** οὗτος[2]] αὐτοῦ **A**

3. Κατὰ ταύτην οὖν τὴν παραδειγματικὴν ἀναλογίαν τριχῶς σχέσις φιλίας μερίζεται· εἰς τὸ ἡδύ, εἰς τὸ συμφέρον καὶ εἰς τὸ φύσει καλόν. ἀλλὰ ταῦτα μὲν πάντα 90
τριχῶς μεριζόμενα τελοῦσι τὰ βουλητὰ ἑνὸς ἑκάστου τῇ φιλίᾳ λατρεύοντος. ὅτι καὶ γὰρ ὁ φιλῶν λάχους εὐμοιρήσας ἡδύνεται καὶ τῇ σχέσει τοῦ οὗπερ ἔλαχε τέρπεται συνεχῶς ἀληθές. ἀλλ' οὗτος ὅλως εἰ μὲν τοῖς τῶν ἐνύλων ἐπευφραίνεται *γεώδης καὶ σαρκικὸς* καὶ εἰς τὸ οὗπερ ἐρᾷ 95
τῇ ἡδονῇ ὅλως ἐστὶν ἐραστής· ὁ δὲ διὰ τὸ συμφέρον φιλῶν ὑψηλότερος οὗτος καὶ ἀϋλότερος, ὅτι καὶ οἱ τῇ ἡδονῇ αὐτῇ μεμονωμένως λατρεύοντες πόρρω ἀϋλίας αἰχμαλωτίζονται. ὁ δέ γε τὴν τῆς ὀνήσεως καὶ ὠφελείας μοῖραν πραγματευόμενος καὶ φιλίως πρὸς ταύτην διατι- 100
θέμενος, ψυχικὸς οὗτος καὶ ὑψηλότερος· πρὸς τὸ συμφέρον καὶ γὰρ ἀφορᾷ. ὁ δὲ δι' αὐτὸ τὸ φύσει ἀγαθὸν καὶ τελικώτερον τῶν γηίνων καὶ ὑψηλότερον τούτων καὶ ὅλως ἐγγίζων πρὸς τὸ τελικώτατον πλήρωμα τῶν καλῶν θειοπρεπῶς ἀναγόμενος, θεῖος οὗτος καὶ ὑψηλός. ὁ γὰρ 105
περὶ τὴν ἡδονὴν καταμαλθακιζόμενος παρὰ τοῦ ἡδύνοντος ἕλκεται, τοῦτο βιαζόμενος, καὶ φιλεῖ. ὁ δὲ περὶ τὸ συμφέρον τὴν ἀντιστροφὴν αἰδούμενος εἰς ὃ ἔδωκε καὶ ὃ ἔλαβε – συμφέροντος καὶ γὰρ πράγματος αὕτη ἐστὶν ἡ ἀντιστροφή –, *φιλίως διάκειται* τῷ συναλλάκτῃ τούτου 110
εἰς τὸ λαβεῖν. ὁ δ' ἐσθλὸς ὁμοῦ τε καὶ ἀγαθὸς πάσης ἰλύος ἀνώτερος ὢν καὶ ἀνόθευτος, πάσης ἀληθείας ἐν-

F **88–89** cf. Arist. eth. Nicom. VIII 1155 b 18–19 m. mor. II 1209 a 16–18 eth. Eud. VII 1236 a 29–32 (vid. etiam ad **67**) praeterea cf. Clem. Al. str. II 19 = 168,18–169,1 Stähl. - Fr. ‖ **90–92** cf. Arist. m. mor. II 1210 a 23–24 ‖ **95** vid. ad **86** ‖ **110** vid. ad **78**

L **90** ταῦτα μὲν πάντα] πάντα μὲν ταῦτα **C** ‖ **95** τὸ **B**[sl] ‖ **100** μοίρας **D** ‖ **104** τελικώτερον **A** ‖ **105** θεοπρεπῶς **C**

υπάρχων μεστός, πάσης δικαιοσύνης ταμεῖον ὢν ἁγιώτατον, οὐ βλέπει περὶ τὴν ἡδονήν, οὐ σκοπεῖ τὸ ταύτης
115 ἡδύ, οὐκ ἐντρυφᾷ τοῖς ἐκ ταύτης φαντάσμασί τε καὶ φάσμασιν, ἀλλ' οὐδὲ πρὸς τὸ συμφέρον ὁλοσχερῶς καταγίνεται, εἰ μὴ καὶ τοῦτο ῥέπει κατὰ πολὺ εἰς τὸ κυρίως φύσει ὂν ἀγαθόν. ἀλλὰ πρὸς τὸ ὂν καὶ ὄντως καὶ κυρίως φύσει ⟨καλὸν⟩ καὶ ἀγαθὸν ὁλοσχερῶς ἀφορᾷ, ἐν ᾧ καὶ
120 εἰς ὃ ἑδράζεται καὶ στηρίζεται.

4. Διὰ ταῦτα πάντα κρεῖττον βασιλέας τιμᾶν καὶ φιλεῖν, ἢ φίλους ὅλους ἀδελφούς τε καὶ συγγενεῖς. ἐν τούτοις καὶ γὰρ τὸ τριττὸν ἄθροισμα τῆς φιλίας συνάγεται ἀληθῶς· ἐν τούτοις τὸ ἡδύ, ἐν τούτοις τὸ συμφέρον, ἐν
125 τούτοις τὸ φύσει ἀγαθὸν καὶ ἐσθλόν. τί καὶ γὰρ εἶδος ἡδονῆς ἐν τοῖς βασιλεῦσιν οὐκ ἀναστρέφεται; τίς δὲ συμφέρον πράγματος ἔχων δι' ὅλης ἐφέσεως καὶ οὐ παρὰ τοῖς βασιλεῦσι τοῦτ' αὐτὸ σχοίη ἄν; τίς τῷ φύσει καλῷ ἐνηδόμενος δι' αὐτὸ καὶ μόνον, ὅτι φύσει καλόν,
130 οὐ πρώτους καὶ ἀσυγκρίτους φίλους θελήσει ἔχειν τοὺς βασιλεῖς; δι' αὐτῶν καὶ γὰρ ἡ τοῦ γένους εἰρηναία κατάστασις χορηγεῖται παρὰ θεοῦ· διὰ τούτων κλέος πατρίδος συνέστηκε· διὰ τούτων τὸ οἰκεῖον πᾶς τις κατέχει καὶ τὰς τῶν ἀνημέρων ἐχθρῶν χεῖρας διαδιδράσκει·
135 δι' αὐτῶν ἐχθρῶν λεηλασίαι συχναὶ ἀποσοβοῦνται ἐκ κόπων καὶ μόχθων αὐτῶν· δι' αὐτῶν πλάτους ὅρια τυγχάνουσι· δι' αὐτῶν ἐχθρῶν ἑσμὸς δραπετεύει· δι' αὐτῶν οἱ ἐπήλυδες τῶν ἀδελφῶν τιμῶνται παντοίως καὶ παν-

F **121–122** cf. Isocr. Nicocl. 54 τὴν ἐμὴν φιλίαν ἀσφαλεστάτην καὶ βεβαιοτάτην εἶναι νομίζετε || **124–125** cf. Arist. eth. Nicom. VIII 1156 b 13–15 m. mor. II 1209 a 33–35

L **115** φαντάσμασί] φαντὰς φασί **A** || **118** ὂν[1]] ὢν **A** || **119** καλὸν inserui || **120** ὃ om. **A** || **124** τὸ[1]] δὲ **C**

ταχοῦ. καὶ γὰρ τὴν τοῦ ἄρχοντος ἀρετὴν καὶ ἐχθροὶ αἰ-
δοῦνται καὶ σέβονται καὶ διὰ τοῦτο τοὺς αἰχμαλώτους 140
σέβονται ἀδελφούς. διὰ τούτων ἀλλοδαπὰ γένη σπάθην
εἰς τὴν τοῦ ὁμοφύλου λαοῦ συντήρησιν ἕλκουσι. διὰ
τούτων εὐνομία ἐν πόλεσιν εἰρήνη ἐν δήμοις γαλήνη ἐν
ὑπηκόοις, αἰσχρῶν ἀναχαίτισις ἐσθλῶν ἀναβίωσις, πο-
νηρῶν θλάσις πανούργων ἀγαθοεργία, χωρῶν οἰκισμὸς 150
σύστασις πολιτεύματος, δικαιοσύνη ἐν πᾶσι σωφροσύνη
κατὰ παθῶν, φρονήσεως ἀρετὴ ἀνδρεία πρὸς τοὺς
ἐχθρούς, καὶ ἁπλῶς εἰπεῖν σύστασις πάντων τῶν ἐν
κόσμῳ ἀγαθῶν καὶ καλῶν. ταῦτα πάντα φύσει ἀγαθὰ
καὶ καλά, *πρύτανις* δὲ *τούτων ἁπάντων* μετὰ θεὸν οὐδεὶς 155
ἄλλος καθέστηκεν ἢ μόνος ὁ ἡγεμών. διὸ καὶ οἱ τῷ φύ-
σει καλῷ φιλίως προσκεῖσθαι βουλόμενοι τῷ ἄρχοντι
τῶν καλῶν φιλικῶς ὁμοῦ τε καὶ εὐνοϊκῶς ἐν παντὶ πράγ-
ματι σεβαστικῶς πειθαρχείτωσαν. τί καὶ γὰρ τοῦ φύσει
καλοῦ ὑψηλότερον καὶ τί βασιλικῆς ἀξίας σεμνοπρεπέ- 160
στερον; τί δὲ βασιλικῆς καὶ ἀρχικῆς καὶ ἡγεμονικῆς
ἀξίας ὄντως θειότερον; τί δὲ φυσικῆς καλοκἀγαθίας ὄν-
τως ἐρασμιώτερον; ὄντως τούτου οὐδέν, καὶ ὄντως τῆς
ἀρχικῆς ἀξίας οὐδὲν ἀγαθότητος κρεῖττον. ὁ γοῦν ἐν τῇ
ψυχῇ ἀρεταίνειν βουλόμενος περὶ τὸ φύσει καλὸν τῷ 165
ἄρχοντι ὡς ὄντι κεφάλαιον τῆς διαρτίας πάσης τοῦ
πληθυσμοῦ φιλίως προσκείσθω ὡς ἐναργῶς εἰκόνι ὄντι
τούτῳ θεοῦ.

F **155** Cyr. Al. in ps. 6 = PG LXIX 748 c 8–9

L **149–150** ἐσθλῶν ~ θλάσις om. **D** || **163** post οὐδέν] καὶ ὄντως τούτου οὐδὲν scr. **B**, dein erasit | ἐρασμιώτερον post ὄντως[2] add. **A** || **164** ἀγαθώτητος **BC** ἀγαθ****** **D** || **168** θεῷ **A**

P **139–140** τὴν τοῦ ἄρχ. ~ αἰδοῦνται: cf. **2,198–199**; **4,212**

5. Ὁ δὲ περὶ τὸ συμφέρον ὅλως καταγινόμενος πει-
170 θαρχείτω τῷ ἄρχοντι, ἵνα καὶ τὸ φίλον κερδήσῃ καὶ
⟨τὴν⟩ εὐμένειαν ἐφελκύσῃ καὶ παντοίως, ὡς εἰπεῖν, τὸ
συμφέρον ὁμοῦ ἐκ τῆς ἀρχικῆς κεφαλῆς οἷα μέλος ταύ-
της ἕξει χορηγούμενον ἐξ αὐτῆς. διὰ τοῦτο ὁ διὰ τὸ
συμφέρον ἔν τινι πράγματι συνενούμενος φιλικῶς φιλίως
175 ἑνούσθω τῷ δεσπότῃ καὶ βασιλεῖ. δότω δὲ καὶ λαβέτω,
ἵνα καὶ τὸ συμφέρον ἑλκύσῃ καὶ τὸ χρήσιμον ἀνθελκύσῃ
καὶ τὸ χρειῶδες λάβῃ, καὶ παντοίως κερδανεῖ πλῆθος
ἀγαθουργημάτων δεσποτικῶν. ἀλλ' ἐπείπερ ἐρᾷ τῆς
καλλίστης ἀντιστροφῆς, δότω τὰ ποθεινὰ καὶ λαβέτω
180 τὰ δυσκατόρθωτα. καὶ γὰρ πρωτίστως δότω συνειδότως
εἰλικρινεστάτην ἀναστροφὴν διακρίσεως, κἀνθένδε δε-
δέχθω ἀγάπην εἰλικρινῆ. δότω ἁπλότητος τὸν ῥυθμὸν
καὶ λαβέτω οἰκειότητος γνησιότητα. δότω ἤθους τὸ χα-
ριέστατον, λαβέτω δὲ τὸ μετ' εὐφροσύνης τοῖς τοῦ δε-
185 σπότου ἐπεντρυφᾶν. δότω τὸ ἑδραῖον τῆς προσμονῆς
καὶ λαβέτω τὸ ἑδραῖον τῆς τοῦ δεσπότου συγκαθεδρίας
ἀξίωμα. δότω τῆς παρρησίας τὸ σταθηρὸν περὶ τὴν τῶν
δεσποτικῶν πραγμάτων συνεισφορὰν καὶ λαβέτω δε-
σποτικῆς παρρησίας τὸ 'εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ'.
190 δότω γλώττης τὸ ἄψευστον, ᾧ καὶ μόνῳ πᾶς κακίας ῥύ-

F **175–178** cf. Agap. Diac. sched. reg. 44 = 56,8–9 Ried. ἀδαπάνητός ἐστι τῆς εὐποιΐας ὁ πλοῦτος, ἐν τῷ διδόναι γὰρ λαμβάνεται καὶ ἐν τῷ σκορπίζειν συνάγεται ‖ **189** ev. Matth. 25,21.23

L **170** φίλον] φίλτρον **D** | κερδήσει **B** (-ῃ **B**[sl]) ‖ **171** τὴν inserui ‖ **173** ὁ] οὐ **A** ‖ **180** συνειδότος **A**[pc]**BCD** ‖ **183** οἰκειότητος post γνησιότητα transp. **B**[ac] ‖ **184** τὸ om. **C** | τοῖς] ταῖς **C** ‖ **186–187** συγκαθεδρίας post ἀξίωμα transp. **B**[ac] ‖ **187** ἀξίωμα om. **A**[ac] ‖ **190** κακίας] καρδίας **C**

πος ἐκπλύνεται, καὶ λαβέτω δεσποτικῆς μᾶλλον εὐμενείας τὴν ἔλλαμψιν. δότω προθυμίας τὸ ἀληθὲς καὶ ποταμηδὸν ἐκκενουμένην εὐεργεσίαν ἕξει δεσποτικήν. δότω κόπον καὶ μόχθον καὶ περὶ τὸ δεσποτικὸν στέρνον ὡς οἷα γνήσιος γόνος ἀναπαυέσθω καρδιακῶς. δότω ζέσιν καρδιακὴν καὶ λαβέτω τὸ τῆς παρρησίας ἔμπυρον εἰς τὸ ἕλκειν τὴν τοῦ δεσπότου εὐμένειαν. δότω ζῆλον καρδιακὸν εἰς τὰς χρειώδεις καὶ δεσποτικὰς ὑπηρεσίας τοῦ κυρίου αὐτοῦ καὶ λαβέτω τὸ ἡδραιωμένος εἶναι ὁμοῦ σὺν αὐτῷ ἐν πάσῃ τιμῇ. δότω *καρδιακὴν* πᾶσαν *ῥοπὴν* εἰς τὰς τῆς δεσποτικῆς καρδίας ὁρμὰς ἀκρατῶς καὶ λαβέτω πᾶσαν ῥοπὴν δεσποτικῆς εὐμενείας ἀληθινῆς. δότω πᾶσαν αὐτοῦ βούλησιν τῷ κυρίῳ αὐτοῦ καὶ λαβέτω τῆς δεσποτικῆς καρδίας τὰ ἐννοήματα. ἀλλὰ μηδὲ τὰ ἐρωτώμενα τῷ κυρίῳ αὐτοῦ παρυποκρυψάτω ποτὲ καὶ *μυστηρίων ἀπορρήτων* καὶ δεσποτικῶν ἕξει γνῶσιν ἀπόρρητον. δότω δὲ καὶ πάντα λόγον αὐτοῦ εἰς πλήρωμα λόγων τοῦ κυρίου αὐτοῦ καὶ λαβέτω ἀντὶ λόγων χεομένων καὶ λυομένων σταθηρὰν ἀγάπην τοῦ κυρίου αὐτοῦ. δότω ὀφθαλμῶν πᾶσαν γνῶσιν εἰς ὦτα τοῦ δεσπότου αὐτοῦ καὶ *φυλάξει αὐτὸν* ὁ δεσπότης αὐτοῦ *ὡς κόρην ὀφθαλμοῦ*.

195 200 205 210

F **200** Bas. Caes. hom. 13,4 = PG XXXI 432 b 7 || **204–205** cf. Isocr. Nicocl. 52 μηδὲν ἀποκρύπτεσθε μήθ' ὧν κέκτησθε μήθ' ὧν ποιεῖτε μήθ' ὧν μέλλετε πράττειν || **206** Iren. c. haer. I 1,3 = PG VII 452 a 11 Ioh. Chrys. hom. in Matth. 30,3 = PG LVII 366,36–37 hom. in Matth. 54,3 = PG LVIII 535,37–38.42–43 al. || **209 sqq.** cf. Isocr. Nicocl. 53 μὴ κατασιωπᾶτ' ἄν τινας ὁρᾶτε περὶ τὴν ἀρχὴν τὴν ἐμὴν πονηροὺς ὄντας, ἀλλ' ἐξελέγχετε || **211** Septuag. deut. 32,10

L **191** παρρησίας post δεσποτικῆς add. **C**

δότω τὰς διὰ τῆς *ἑλικοειδοῦς ὀπῆς* εἰσερχομένας αὔρας
παντοδαπὰς καὶ λαβέτω ἐν κρίσει ἔργων ἀτόπων αὐτοῦ
τὸ δεξιὸν οὖς τοῦ κυρίου αὐτοῦ. δότω καὶ δεσμευθήτω
215 τὰ ὑποδήματα τῆς αὐτοῦ λίχνου σχέσεως πρὸς τὴν ἡδο-
νὴν ἐν ποδοκάκῃ ἀγάπης τοῦ κυρίου αὐτοῦ καὶ λαβέτω
εἰρήνης δεσποτικῆς 'ὑποδήματα εἰς τοὺς πόδας' αὐτοῦ.
δότω γαληνότητα *ἤθους ψυχῆς* εἰς τὰ τοῦ κυρίου ἐπερω-
τήματα καὶ τῇ ταπεινώσει λαβέτω ἀγαθοεργίας δεσπο-
220 τικῆς τὸν μισθόν. δότω ἁπλουστάτην ἀναστροφὴν μὴ
κατὰ περιεργίαν γινομένην εἰς τὰ τοῦ κυρίου αὐτοῦ θε-
λητὰ καὶ λαβέτω δόσιν ἱλαρὰν ἀγαπωμένην καὶ παρ'
αὐτοῦ τοῦ θεοῦ· *ἱλαρὸν καὶ γὰρ δότην ἀγαπᾷ ὁ θεός*. δότω
γλώττης κλεῖθρα τῇ τοῦ κυρίου αὐτοῦ χειρὶ ἐσφραγι-
225 σμένα καλῶς καὶ λαβέτω πλάτος παρρησίας ἀληθινῆς
ἐνώπιον τοῦ προσώπου *τοῦ κυρίου* αὐτοῦ. δότω *βάθος
γνώσεως* αὐτοῦ βυθῷ τῆς δεσποτικῆς αὐτοῦ γνώσεως
καὶ λαβέτω ποταμηδὸν μυστήρια κυριακὰ ἐκ καρδίας
δεσποτικῆς τῷ τῆς ἀληθινῆς φιλίας καὶ εὐμενείας ζεού-
230 σης ἀναμορμύροντα πνεύματι. δότω πνεῦμα ὁμολογίας
ὑπὲρ τοῦ δεσπότου αὐτοῦ καὶ ὁμολογηθείη μὲν ἐνώπιον
τῶν ὁμοδούλων αὐτοῦ προσκαίρως ἐνταῦθα καὶ γεηρῶς,
πέποιθα δ' ὅτι καὶ παρ' αὐτοῦ τοῦ Χριστοῦ *ἐν τῇ βασι-
λείᾳ τῶν οὐρανῶν*. δότω σώματος προθυμίαν, λαβέτω

F **212** Bas. Caes. hom. 3,8 = PG XXXI 217 a 3–4 || **217** ev. Luc. 15,22 || **218** Plat. resp. III 400 d 7 || **223** Septuag. pr. 22, 8a || **226** Paul. ep. Rom. 14,22 ep. Cor. 1,1,29 ep. Tim. 1,2,3 Iacob. ep. 4,10 Petr. ep. 1,3,4 al. || **226–227** Paul. ep. Rom. 11,33 Clem. Rom. ep. Cor. 1,40 = I 76,17 Lake || **230–234** cf. ev. Matth. 10,32 ev. Luc. 12,8 || **233–234** ev. Matth. 3,2; 4,17; 5,19; 18,4 al.

L **214–216** δότω καὶ δεσμευθήτω ~ τοῦ κυρίου αὐτοῦ om. **D** || **218** δότω om. **C** || **219** λάβη **B**[ac] || **223** καὶ **B**[sl] || **233** δ' om. **D**

δεσποτικῆς ψυχῆς ἱλαρότητα. δότω νοῦν ὅλως νοεῖν οἷς 235
νοῦς ὁ δεσποτικὸς ἐντρυφᾷ καὶ λαβέτω γνησιότητα ὑλι-
κὴν παρὰ τοῦ κυρίου αὐτοῦ. δότω πᾶσαν ῥοπήν, δότω
πᾶσαν ὁρμήν, δότω πᾶσαν σχέσιν ζέσεως καρδιακῆς
καὶ κινήσεως καὶ λαβέτω πᾶσαν ἀγαθωσύνην, ἱλαρό-
τητα, εὐμένειαν, χάριν, εὐεργεσίαν καὶ πᾶν ἀγαθὸν 240
παρὰ τοῦ κυρίου αὐτοῦ. δότω τὸ τέλος πάντων τῶν
ἀγαθῶν, τὴν ἀρχὴν καὶ πηγὴν καὶ ῥίζαν καὶ αἰτίαν τῶν
καλῶν καὶ τιμίων, τὴν εἰλικρινῆ καὶ ἀκήρατον, τὴν
ἁγιωτάτην καὶ τιμιωτάτην καὶ σεμνοτάτην καὶ θείαν
ὄντως ὑπόληψιν καὶ λαβέτω σύμπαντα χρήματα, σύμ- 245
παντα πράγματα, σύμπαντα κτήματα, σύμπαντα ἔργα,
ἅπασαν σχέσιν δεσποτικήν, ἅπασαν γνῶσιν, ἅπασαν
κυριακὴν ἀγαθωσύνην καὶ ἱλαρότητα. διὰ ταῦτα πάντα
τὰ ἀγαθὰ ὁ βουλόμενος διὰ τὸ συμφέρον φιλίαν ἀσπά-
ζεσθαι φιλιούσθω μᾶλλον ὑπὲρ πάντας ἄλλους τῷ κυ- 250
ρίῳ αὐτοῦ.

6. Ἄλλως τε δὲ καὶ ⟨εἴ⟩ τις διὰ τὸ τῆς ἡδονῆς εὐ-
φραντὸν εἴς τι πρᾶγμα φιλίως διάκειται καὶ ἐθέλει ἔχειν
γαληνιαῖον λάχος καὶ φιλικὸν εἰς ὃ καὶ ἐν ᾧ πράγματι
ἐξορμᾷ τὴν ῥοπήν, μᾶλλον περὶ τὸν ἔφορον ἡγεμόνα φι- 255
λικῶς διατριβέτω ἐν γαληνότητι. πᾶσα γὰρ εὐφορία
πρὸς ἡδονὴν βασιλικαῖς αὐλαῖς περιστρέφεται. ὁ γοῦν
ἐρῶν ἡδονῆς γαληνιαίως πειθαρχείτω τῷ βασιλεῖ καὶ
ἔνθεν ἑλκύσει πᾶν ῥεῖθρον ἡδονῆς πρὸς αὐτόν. χρημά-
των ἐρᾷ; καὶ τίς ἄλλος ῥοῦν ἐκκενώσει χρυσόρρυτον τῷ 260

F **260 sqq.** cf. Agap. Diac. sched. reg. 44 = 56,10–11 Ried. Bas. Imp. exhort. cap. 22 = PG CVII, XXXII d 4–6 = 57,14–16 Emm.

L **239** ἀγαθοσύνην **C** ‖ **248** ἀγαθοσύνην **A** ‖ **250** πάντας] τοὺς **D** ‖ **252** εἴ inserui ‖ **255** ἡγεμόνα fort. ut glossam delend.

οἰκέτῃ ὡς ὁ δεσπότης αὐτοῦ ὁ φιλάγαθος; κτημάτων ἐρᾷ; καὶ τίς ἄλλος ἐπάνω πόλεων πολλῶν *νομοθέτην καταστήσει* αὐτόν, ἢ μόνος ὁ δεσπότης αὐτοῦ ὁ φιλάγαθος; τροφῶν ἐστι καὶ τρυφῶν ἐραστὴς καὶ ἑπομένως
265 τοῖς χρήμασι ταῦτα πάντα ἀκολουθεῖ; εἰ γοῦν βούλοιτο, κορεσθήτω τούτων τῆς ἡδονῆς. περὶ τὰς τῶν μαλακιζομένων ἐσθῆτας ἐπτόηται καὶ τῇ τούτων σχέσει τὸ ἀνδρικὸν ἐκθηλύνεται; καὶ ταῦτα πάντα ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. ᾠδὰς τὰς διὰ τῶν μουσικῶν ἁρμονιῶν
270 μέλη κελαδούσας θέλγοντα τὰς ψυχὰς κατασπάζεται; καὶ 'ὅταν ἀκούσῃ' ἐν τοῖς βασιλικοῖς περιαυλίοις 'τῆς φωνῆς τῆς σάλπιγγος', χαμαὶ ὅλον ῥίψας αὐτὸν προσκυνείτω τὴν ἡδονήν. ἀλλὰ καὶ περὶ τὰ τῶν κυνηγεσίων σπουδάσματα φιλικῶς εἰ διάκειται καὶ βάλλει μὲν εὐ-
275 στόχως πρὸς ἔλαφον καὶ ἄρκτον καὶ πάρδαλιν, στρέφει δὲ τὴν σπάθην ὀξύτατα καὶ περὶ τὸ τοῦ ὑὸς στέρνον καταφέρει αὐτήν, λόχμαις δὲ διανυκτερεύων θηρεύει τοὺς ἀγρίους θῆρας καὶ ἀναιδεῖς καὶ τῇ τούτου εὐστοχοβολίᾳ τῇ τοξικῇ καὶ τῇ τοῦ φασγάνου Ἀρεϊκῇ στροφῇ
280 ἐναβρύνεταί τε καὶ τέρπεται, μᾶλλον ἑαυτὸν οἰκειούσθω τῷ δεσπότῃ αὐτοῦ, ὡς ἄν, ἐγκωμιαζομένης τῆς ἀρετῆς, εὐμοιρήσῃ καὶ αὐτὸς δεσπότου ἐπαινέτου αὐτοῦ, καὶ ἕξει τὴν ἡδονὴν ὁ δοῦλος παρὰ τοῦ κυρίου μεγαλυνόμενος. ἱππεύει ἀρίστως καὶ ταχινῶς καὶ στρέφε-
285 ται κουφοτέρως; καὶ δόρυ μεταχειρίζεται καρτερῶς καὶ

F **262–263** Septuag. ps. 9,21 || **271–272** Septuag. Dan. 3,5.7.10 || **273 sqq.** cf. Theoph. Hephaest. Ochrid. inst. reg. = 183,4–11 Gaut.

L **263 sq.** κτημάτων ἐρᾷ ~ ὁ δεσπότης αὐτοῦ (**261–263**) post φιλάγαθος iter. **B**, dein lineis delevit || **269** βασιλειῶν **D** || **270** τὰς om. **D** || **278 sq.** εὐστοχολογίᾳ **C** || **280** ἑαυτὸν om. **D** || **282** ἐπαινομένου **A**

ἀσπίδα εὐθυβόλως στρέφει καὶ δεξιῶς; καὶ τὰ σφυρὰ κινεῖ οἱονεὶ ὥσπερ ἵππου πτερά; καὶ ἅλλεται ὡς οὐδείς; καὶ ὠκυποδρομεῖ καρτερῶς καί, ὥσπερ εἴπῃ τις, ἐναέριον τὸ σῶμα δείκνυσι τῇ ταχυνότητί τε καὶ τῇ στροφῇ – ἃ καὶ φίλα πᾶσιν ὡς ἐπίπαν ὑπάρχουσι –; μᾶλλον φι- 290 λιούσθω οὗτος ὁ ταῦτ' ἔχων τῷ δεσπότῃ αὐτοῦ, ἵνα καὶ τοὺς ἐπαίνους λάβῃ καὶ τὰ ἆθλα ἑλκύσῃ παρὰ τῆς αὐτοῦ δεσποτικῆς δεξιᾶς. κἀντεῦθεν ἀληθεστάτως ἕξει τὴν ἡδονὴν παρὰ τοῦ δεσπότου τιμώμενος, παρὰ τῶν συνδούλων μεγαλυνόμενος καί, ἁπλῶς ὡς εἰπεῖν, παρὰ 295 πάντων κηρυκευόμενος.

Ἔστι καὶ γὰρ τοῦτ' αὐτὸ ἀληθινὸν ἐναργῶς ὅτι, ὁπόταν ὁ δοῦλος σὺν τῇ δεσποτικῇ εὐμενείᾳ ἕλκῃ καὶ ἐπαίνους δεσποτικοὺς ἐκ τοῦ δεσπότου αὐτοῦ, πάντες οἱ σύνδουλοι αὐτοῦ τοῦτον τιμῶσι καὶ σέβονται καὶ μὴ μό- 300 νον οἱ προσγενεῖς καὶ οἱ φιλικῶς πρὸς αὐτὸν διακείμενοι τοῦτ' αὐτὸ ποιοῦσιν, ἀλλὰ καὶ οἱ ἐχθροὶ φίλοι τούτου *αὐτομάτως ἀποκαθίστανται.* ὥσπερ ἀντιστρόφως πάλιν ὁπόταν τὸ δεσποτικὸν ὄμμα βλοσσυρὸν ἀπίδῃ πρὸς τὸν δοῦλον αὐτοῦ, καὶ οἱ ἔγγιστα καὶ προσγενεῖς καὶ φίλοι 305 καὶ ἀδελφοὶ αὐτοῦ μυσαττόμενοι τοῦτον ἐχθρωδῶς λοιδοροῦσι. δεῖ καὶ γὰρ τοῖς θελήμασι τοῖς δεσποτικοῖς πᾶν δοῦλον θέλημα δουλικῶς ἐπακολουθεῖν ὥσπερ καὶ τῷ συντόνῳ τοῦ πνεύματος ῥεῦμα τὸ τῆς θαλάσσης ἀκολουθεῖ, καὶ ἡ νίκη τῷ νικήσαντι στρατηγῷ, καὶ ἡ εὐ- 310 θυμία τῇ εὐφορίᾳ, καὶ τῷ πλῷ ὁ πρῳρεύς, καὶ τῇ τοῦ

F **297 sqq.** cf. Isocr. Nicocl. 60 φιλεῖν οἴεσθε δεῖν καὶ τιμᾶν οὕσπερ ἂν καὶ ὁ βασιλεύς || **303** Arist. part. anim. 640 a 27–28

L **288** εἴπει **B** (-η **B**[sl]) || **289** ταχινότητί **C** ταχεινότητί **D** || **295** ὡς om. **AD** || **297** καὶ **D**[sl] | ἐνεργῶς **A** || **311** εὐφορίᾳ] στρατηγία **A**

ἡνιόχου ὁ ἄξων ἐπιτηδειότητι, καὶ ἁπλῶς πάντα τὰ
κατὰ φύσιν τελούμενα ἑπομένως τῇ τῆς φύσεως τάξει
φυσικῶς ἐπακολουθεῖ. καὶ γὰρ *φύσεως ἀκολουθίᾳ* καὶ
315 δεσποτικῇ τοῦ κτίστου ῥοπῇ ὁ ἄρχων τῶν ὁμοδούλων
ἐπικρατεῖ.

7. *Ἀνάγκη* γοῦν *πᾶσα* κατὰ τοὺς ἄνωθεν τύπους φυσι-
κῶς τῷ βασιλικῷ ἐννοήματι πᾶν δοῦλον θέλημα ἐπακο-
λουθεῖν, κἀντεῦθεν ὁ δοῦλος ἑλκύσει τὴν ἡδονὴν καὶ
320 συνάξει τὸ ἀρεστὸν καὶ κατατρυφήσει τοῦ εὐφραντοῦ. ὁ
γὰρ συνεδρεύων τῷ αὐτοῦ κυρίῳ καὶ συγκαθιδρυμένος
πόσην ἂν ἔχῃ τὴν ἡδονὴν ὁπόταν ἡ φήμη τούτου πανταχ-
χόσε περιηχῆται τὴν πρὸς αὐτὸν εὐμένειαν τοῦ δε-
σπότου διαφημίζουσα καὶ κατὰ μέρος διαιρετικῶς αὐ-
325 τὸν μεγαλύνουσα καὶ διακηρύττουσα τῆς παρρησίας τὸ
σταθηρόν, τῆς ἀγάπης τὸ καθαρόν, τῆς οἰκειότητος τὸ
ὑγιεινόν, τὸ ἀπερίεργον τῆς ἐλευθερίας, τῆς δόξης τὸ
πολυτίμητον, τοῦ θάρρους τὸ ἰδιόρρυθμον, τῆς ἀγάπης
τὸ ἀμιγές, τὸ τοῦ αὐτεξουσίου πρὸς ἔργα καὶ πράξεις
330 ἀνεξέταστον, τῆς μεσιτείας τὸ ὄντως θερμότατον, τὴν
τῶν δεομένων παρ' αὐτοῦ ἀντίληψιν, τὴν τῶν ἀδικουμέ-
νων παρ' αὐτοῦ δικαιοκρισίαν, τὴν τοῦ λόγου αὐτοῦ
παρρησιαστικωτάτην ἐνέργειαν, τὴν τοῦ θελητοῦ αὐτοῦ
βουλεύματος ἐκπλήρωσιν ταχινὴν τοῦ κυρίου αὐτοῦ, τὴν
335 πρωτοκαθεδρίαν ὑπὲρ τοὺς ὁμοδούλους αὐτοῦ, τὴν *συνε-
χῆ ὁμιλίαν* τὴν δεσποτικήν, τὴν ἄρρητον εὐφροσύνην,
τὴν τοῦ ὀνόματος αὐτοῦ συνεχεστάτην κλῆσιν ἣν δέχε-

F **314** Phil. Al. de spec. leg. IV 46 = 224,17–18 Mos. Greg. Nyss. hom. 13 in cant. = VI 389,3 Jäg. ‖ **317** Plat. Phaed. 67 a 4 Tim. 69 d 7 Theaet. 203 d 9 resp. II 381 c 10 al. ‖ **335–336** Clem. Al. str. VI 12 = 484,13 Stähl. – Fr.

L **317** πᾶσα om. **D** ‖ **323** περιηχεῖται **C** ‖ **324** καὶ om. **D** ‖ **328** ἰδιόρυθμον **D**

ται καθ' ὥραν ἐκ τοῦ στόματος τοῦ κυρίου αὐτοῦ· "Καλέσατέ μοι – καὶ γάρ φησι – τὸν εὐνοϊκόν μου δοῦλον καὶ ποθεινόν", καὶ τὸ μεῖζον τούτων ἁπάντων, τὴν καρ- 340 διακὴν καὶ εἰλικρινῆ ἀγάπην τοῦ κυρίου αὐτοῦ δι' ἧς καὶ ταῦτα πάντα φυσικῶς αὐτῇ ἕπονται. πόσην ἂν ὁ δοῦλος ἕξει τὴν ἡδονήν, πόσην τὴν εὐφροσύνην, πόσην τὴν θυμηδίαν, ὁπόταν τὸ τούτου ὄνομα πανταχῇ παρὰ πάντων λαμπρῶς ἐξαγγέλληται; ὄντως ταῦτα πάντα τῆς κυριω- 345 τάτης εἰσὶν ἡδονῆς, ἀλλ' ἐπειδὴ τὸ ἡδύ, τὸ συμφέρον καὶ τὸ φύσει καλὸν τῆς βασιλικῆς ῥίζης εἰσὶ γεννήματα καὶ φυήματα καὶ ὁ περὶ τὴν βασιλικὴν ῥίζαν εὐνοϊκῶς συναγόμενος τούτοις πᾶσιν ἡδύνεται, *ἀνάγκη πᾶσα* φίλους εἶναι πάντας τοῦ κυρίου αὐτῶν ἢ φίλων καὶ γονέων 350 καὶ ἀδελφῶν, ὅθεν καὶ τὸ ἡδύ, ὅθεν καὶ τὸ συμφέρον, ὅθεν καὶ τὸ φύσει καλὸν γεννᾶται ποταμηδόν. δεῖ γοῦν ὑπὲρ ἄλλους πάντας τοὺς ἡγεμόνας φιλεῖν ἵνα τε ταῦτα πάντα κερδάνωσι καὶ ὅτι ὁ τὸν ἡγεμόνα φιλῶν τὸν πρῶτον ἡγεμόνα πεφίληκεν· ὁ δὲ τὸν πρῶτον φιλῶν καὶ τὸν 355 κατὰ χάριν τιμῶν καὶ σεβόμενος ἕξει πᾶσαν ὄντως ἀγαθοεργίαν καλῶν παρ' αὐτοῦ τοῦ θεοῦ. διὰ ταῦτα πάντα τοὺς δούλους χρεὼν ἔχειν φίλους τοὺς κυρίους αὐτῶν.

8. Ἐπεὶ δὲ καὶ τῆς ἡρῴας ἐκείνης ψυχῆς ἐμνήσθημεν 360 ἄνω καὶ τῶν φίλων ταύτῃ ψυχῶν σὺν αὐτῇ, ἀναγκαίως λέξαι καὶ περὶ τούτων ὁ λόγος ἐρεθίζει τὸ ἀληθές, ἵνα

H **360–361** vid. ad **6–51**

F **349** vid. ad **317**

L **339** τὸν om. **C** || **341** καὶ^2 om. **D** || **345** ἐξαγγέλλεται **A** || **349** συναγόμενος] ἀναγ. **D** || **357** διὰ **D**^{sl} om. **B**$^{ac\ prob}$ **A** || **361** ἄνωθεν **A**

μὴ εἰκῇ καὶ μάτην τὴν σχέσιν ταύτης εἶναι πρὸς ταύτας δόξῃ τοῖς ἄφροσι. κατ' ἀλήθειαν γὰρ ὁ δεσπότης ὁ μέ-
365 γας ἐκεῖνος, σχὼν φίλους ἀληθινοὺς ἀληθὴς ὤν, τοῖς δούλοις τοῖς ἀληθεστάτοις αὐτοῦ τὸ ἀγαθὸν ἐφιλοτιμήσατο. καὶ γὰρ ἔδωκε καὶ ἀντέλαβεν, ὅτι καὶ πρότερον λαβὼν ἐδωρήσατο. καὶ δοὺς φιλίαν αὐτὸς δουλείαν καὶ φιλίαν δούλων καὶ φίλων συνεισηνέγκατο. τὰ γὰρ ἐκεί-
370 νων πρὸς τὸν μέγαν Ἀλέξανδρον τοιαῦτά εἰσι· πίστις ἀθόλωτος, ἀγάπη ἀμόλυντος, *ὑπόληψις ἀνεπίληπτος*, εὔνοια δουλική, ἀγαθωσύνη καρδιακή, στοργὴ δεσποτική, καταφρόνησις σαρκική, ὑπηρεσία μετὰ σπουδῆς μᾶλλον δέ γε καὶ προθυμίας, ῥαθυμίας ἀπαλλαγὴ εἰς τὰ
375 χρειώδη αὐτοῦ ἐξ αὐτῶν – καίπερ οὐ πολλὰ αὐτοῦ χρειώδη πρὸς τὴν ἡδονὴν καθεστήκασιν ἄνευ νίκης πολέμου καὶ λόγου ἐπιμελείας –, συνείδησις πρὸς τοῦτον ἀληθινὴ τούτων, ἐν πολέμοις τούτου τούτων ἡ εὐτολμία, ἐν καρτερίαις ἡ εὐψυχία, ἐν ὀξύτητι ἡ τούτων ἔμπειρος
380 καρδιακὴ προθυμία, ἐν παρατάξει πολέμου ὁ διαγνώσεως τούτων εἰς τὸ στρατόπεδον λογικὸς αὐτῶν σύνδεσμος, ἐν χρήμασι πρὸς τὴν αὐτοῦ ἀγάπην ⟨τῆς ἀφιλοχρηματίας⟩ τὸ ἄσχετον – πάντα καὶ γὰρ χρήματα ἐκ ποδῶν ἀπεκρούσαντο –, καὶ ἁπλῶς ὡς ἐν ὀλίγῳ εἰπεῖν
385 τὰ πάντα ἦσαν αὐτῶν καὶ ἅπαντα οὐχ ὑπῆρχον αὐτῶν. ὅσα καὶ γὰρ ὑπῆρχον ὑπὲρ τῆς τούτου τιμῆς καὶ θελήσεως καὶ σχέσεως καὶ ὀρέξεως καὶ βουλήσεως ἅπαντα

F **367 sqq.** cf. Niceph. Blemm. stat. reg. 5,76 = 66,1–3 Hung. – Ševč. || **371** Const. Porph. vit. Bas. 100 = 349,4 Bekk. || **383–384** cf. Plutarch. Alex. 672 b 7–9 = II^2 170,1–3 Ziegl.

L **368** δουλίαν **B A C** || **369** συνεισενέγκατο *x* || **372** ἀγαθοσύνη **A** || **382–383** τῆς ἀφιλοχρηματίας temptavi || **384** ἀπεκρούσατο **C**

M **370** ση(μείωσαι) **D**

ἦσαν αὐτῶν, εἴτε φόβοι εἴτε τρόμοι, εἴτε λῦπαι εἴτε φίλοι, εἴτε στέρησις γένους εἴτε πατρίδος ἀποικισμοί, εἴτε σώματος καταφρόνησις εἴτε λογισμὸς ἡδονῆς. οὐ 390 γὰρ λιμῷ ἂν ἄρτου οἱ πολλοὺς διατρέφοντες ἐλιμώχθησαν πώποτε, ἀλλ' ἐλίμωττον μὲν οὗτοι τὴν ἡδονὴν τῇ σαρκὶ αὐτῶν ἔν τισι πράγμασιν ἐντεταλμένοις παρὰ τοῦ κυρίου αὐτῶν εἰς τὸ μὴ ἅψασθαι ἐξ αὐτῆς. ταῦτα γοῦν ἅπαντα εἰ καὶ δυσαχθῆ καὶ δεινὰ τῇ φύσει ὑπάρχουσι 395 καὶ ἀλλότρια, φύσεως ῥεπούσης πρὸς ὑλικά, ἀλλ' ἐκεῖνοι οἰκειακῶς ταῖς καρδίαις αὐτῶν τὴν ἄσκησιν τούτων ἐνθησαυρίσαντες *ἐθεράπευον τὴν ψυχὴν* τοῦ κυρίου αὐτῶν. τὰ δὲ τῆς χαρᾶς, τῆς εὐκληρίας, τῆς τροφῆς, τῆς τρυφῆς, τοῦ καινοῦ ἐπαίνου, τοῦ δοξασμοῦ, τοῦ λείου 400 τῆς ἡδονῆς, καὶ ὅσα ἡδύνουσιν αἴσθησιν καὶ καταμαλθακίζουσι τὴν ὑπόληψιν, ὡς ξένα πάντῃ τούτων καὶ ἀλλότρια ταῦτα, *ἐς κόρακας* ἐξαπέστειλαν.

Διὰ ταῦτα πάντα τούτους ὁ γεννάδας ἐκεῖνος οἱονεὶ ὡς αἰσθήσεις τοῦ οἰκείου ἡμιθέου σώματος ἀπετέλεσε 405 καὶ μέντοι γε καὶ ὅρασιν καὶ ἀκοὴν καὶ ὄσφρησιν καὶ γεῦσιν καὶ ἁφὴν τούτους, ὡς εἰπεῖν, ἑαυτοῦ χρηματίζοντας ᾠκειώσατο καὶ τὸ καταθύμιον ἀπεπλήρωσεν. ὅθεν καὶ καταλλήλως ἐφιλοτιμεῖτο τοὺς ἔμφρονας καὶ δορυφορίαις τετίμηκε καὶ χρήμασιν ἐδαψίλευσε καὶ τιμαῖς 410 ἁπάντων ἄλλων αὐτοὺς ὑπερέθετο καὶ *διάδημα βασιλικὸν* τὴν ἑαυτοῦ εὐμένειαν αὐτοῖς περιέζωσε καὶ 'ἐσθῆτα

F **398** Plat. Prot. 312 b 8–9 resp. III 410 c 2–3 al. || **403** Ar. nub. 133.789 vesp. 51.982 al. || **409 sqq.** cf. Plutarch. Alex. 685 b 8–9 = II[2] 199, 22–23 Ziegl. || **411–412** Septuag. Esth. 6,8 *O* || **412–413** ev. Luc. 23,11

L **394** ἅψασθαι] ψεύσασθαι **D** | αὐτῆς (sc. ἡδονῆς) scripsi: αὐτῶν codd. || **399** τὰ] διὰ **A** || **403** ταῦτα] πάντα **D** || **404** τούτους post ἐκεῖνος transp. **A**

λαμπρὰν' τὴν οἰκείαν ἀγάπην 'περιβαλὼν' ἐξεκάλλυνε
καὶ στέφει τῆς ἑαυτοῦ καρδιακῆς ῥοπῆς καὶ προαιρέ-
415 σεως τὴν τῆς ἀκραιφνοῦς αὐτῶν ὑπολήψεως κεφαλὴν
ἀληθινῶς ἐταινίωσε καὶ συμβασιλεύειν τούτους αὐτῷ
κατὰ χάριν δεσποτικῶς εὐηργέτησεν. οὕτως ἠγωνίσαντο
οἱ γενναῖοι καὶ οὕτως εἰλήφασι τὴν ἀντάμειψιν· κόπῳ
γὰρ καὶ μόχθῳ καὶ ἀρετῆς προθυμίᾳ τὴν βασιλικὴν εὐ-
420 μένειαν ἐφειλκύσαντο.

9. Διὰ ταῦτα πάντα τοῖς οἰκείοις δούλοις ἐξ ἀρετῶν ὁ
δεσπότης συναγαλματωθεὶς εἰκονίζει *τὸ ἄρχον καὶ τὸ ἀρ-
χόμενον*. ἀλλ' ἀτενίσατε, ἡγεμόνες καὶ δοῦλοι ἅπαντες,
πρὸς ταύτην τὴν καλὴν ἀγαλματουργίαν, ἀναμάξασθε
425 ἀρετάς, ἀντλήσατε ἰδιώματα, γνῶτε δουλικὴν εὔνοιαν,
γνῶτε δεσπότου εὐμένειαν φίλον τε δεσπότην θεάσασθε
καὶ δούλους φίλους δεσπότου αὐτῶν, ἀρίστην καλλίστην
ἀντιστροφὴν εἰκόνος μιμήθητε. τί καὶ γὰρ δοῦλον οἰ-
κειοῖ πρὸς τὸν ἑαυτοῦ κύριον; οὐδὲν ἄλλο ἢ μόνον τὸ
430 ἀκραιφνὲς τῆς ὑπολήψεως πλήρωμα. τί δὲ δοῦλον πεί-
θει σῶμα δοῦναι σὺν τῇ ψυχῇ ἐν βουλῇ τῇ δεσποτικῇ, ἢ
μόνον τὸ τῆς ἀγάπης τῆς τοῦ κυρίου εἰλικρινές; ἐν
τούτῳ καὶ γὰρ οἱ δεσπόται δούλων εὐμοιροῦσιν ἀληθι-
νῶν καὶ ἐν τούτῳ οἱ δοῦλοι ὑπὲρ τοῦ δεσπότου καὶ τὸ
435 ζῆν ἀπολέγονται. ἀλλ' ἐρῶ τι καὶ καινοπρεπέστερον·
πολλῶν καὶ μεγάλων σαρκικῶν συγγενῶν ἡ τῶν ἀληθι-
νῶν δούλων ἀγάπη ὑπερνικᾷ. διὰ ταῦτα πάντα φιλία

F **422–423** Arist. eth. Nicom. VIII 1158 b 13–14 m. mor. II 1211 b 9 Niceph. Blemm. stat. reg. 7,119 = 80,1 Hung. – Ševč. || **436–437** cf. Dion. Chrys. or. 3,113 = I 53,15–18 von Arn. praeterea cf. Bas. Imp. exhort. cap. 12 = PG CVII, XXVIII a 7–b 4 = 53,21–30 Emm.

L **417** γὰρ post οὕτως add. **D** || **431** ἢ] εἰ **C** || **435** καὶ om. **C** || **437** διὰ om. **A**

δεσποτικὴ καὶ εὔνοια δουλικὴ ἀναμιχθεῖσαι καὶ κατὰ σχέσιν ἀντιδοτικῶς διόλου ἀνακραθεῖσαι καὶ τῶν καθ' αὐτὰ σχέσεων ἀτόπων ἀπονηστεύσασαι καὶ ἀνοθεύτως 440 τῷ δεσπότῃ καὶ φίλῳ ἀνακραθεῖσαι μέχρις *οὐρανίων ἀντύγων* τὴν ἀγάπην ἀνάγουσιν. ἀλλ' ὢ τῆς ἀγαθῆς φιλίας καὶ ἱλαρᾶς, ὢ τῆς δουλικῆς εὐνοίας καὶ ὑπολήψεως. καὶ γὰρ ἡ ἀκροτάτη τῇ ἀκροτάτῃ μιχθεῖσα καὶ ἑνωθεῖσα ἔθραυσε τὰ τῆς κακίας αἴσχιστα βάραθρα, 445 καὶ τῆς ἀγάπης τὴν ἀρετὴν τὴν καλλίστην, συγκεχωσμένην οὖσαν ἐν βοθύνῳ πλημμελημάτων, ἀνυποληψιῶν ἐκκαθάρασα ἀνήγαγε καὶ *συγκαλεῖ τὰς φίλας* δυνάμεις, δικαιοσύνην φημί τε καὶ φρόνησιν, *ἐπὶ τῇ* τῆς βασιλικῆς *δραχμῆς ἀνευρέσει,* τῆς ἀγάπης τε καὶ ὑπολήψεως, καὶ 450 συνευφραίνεται μετ' αὐτῶν ἐν τῷ τοῦ νοὸς λαμπρῷ κοιτωνίσκῳ τῷ κριτικῷ τοῖς θείοις ἐντρυφῶν ἐννοήμασιν.

Ἀλλ' ἐπειδήπερ καὶ ὑμεῖς σήμερον οἱ τοῦδε τοῦ λόγου τρυφηταί τε καὶ ἀκροαταὶ χρῄζετε 'πρὸς τὸν καταρτισμὸν' τῆς ὑμῶν προκοπῆς, διδαχῆς, φιλίας, δουλικῆς εὐ- 455 νοίας καὶ ὑπολήψεως ὡς ἂν τῇ ἀγαθῇ ταύτῃ ἐντρυφῶντες νουθεσίᾳ ἐν σοφίᾳ περιπατήσητε ὡς νοήμονες, ταῦτα λέγω καὶ δὴ καὶ ἀκούετε· "*Ἀγαπήσατε τὸν κύριον ὑμῶν* καὶ φιλίως *ἐν ταῖς τούτου τρίβοις περιπατήσατε·* ἀσπάσασθε τὴν ὑπόληψιν· διόλου εἰς ἀγάπην τούτῳ συν- 460

F **441–442** Anth. Pal. IX 806,6 (anonym.); XI 292,1 (Pallad.) ps.-Iambl. theol. arithm. 10 = 81,20 De Falco – K. Ioh. Tzetz. hist. IV 723 = 154 Leone al. || **448–450** ev. Luc. 15,8–9 || **454–455** Paul. ep. Eph. 4,12 || **458–459** Septuag. deut. 6,5 ap. ev. Matth. 22,3 ev. Marc. 12,30 ev. Luc. 10,27 || **459** Septuag. Mich. 4,2

L **439** δι ὅλου **A** || **440** αὐτὰ] an αὐτὰ⟨ς⟩ scribend.? || **441** καὶ om. **C** | φίλῳ om. *x* || **444** τῇ ἀκροτάτῃ om. **A** || **446** τῆς om. **D** || **453** ἡμεῖς **C** || **455** διδαχὴν **AD** || **458** καὶ[2] om. **D**

ανακράθητε· τὸ δεσποτικὸν ἀξίωμα ἐννοήσατε καὶ τὴν τοῦ δούλου ὑπόπτωσιν· γνῶτε τὸν χειροτονηθέντα καὶ τὸν τοῦτον χειροτονήσαντα· γνῶτε ὡς ἄρνες τὸν ποιμένα· τυφλώσατε ἡδονὴν καὶ ὀφθαλμὸν ὑπολήψεως ἐκ-
465 καθάρατε· ὑπὲρ τὴν οἰκείαν σάρκα ἕκαστος τὸν κύριον ἀγαπήσατε, καὶ γὰρ οὗτος 'τὴν ψυχὴν αὐτοῦ τίθησι' δι' ὑμᾶς. ἀλλὰ καὶ τὰς ψυχὰς ὑμῶν ὑπὲρ τούτου τιθέναι σπουδάσατε· αὐτὸς καὶ γὰρ σῶμα σὺν τῇ ψυχῇ ἔδωκεν ἂν ὑπὲρ ἑνὸς τῶν ἐλαχιστοτέρων ὑμῶν. *ἐν τῇ* στερρο-
470 τάτῃ *πέτρᾳ* τῆς ἀληθείας καὶ φιλίας καὶ ὑπολήψεως ὥσπερ *Βαβυλώνια νήπια* τὸ ψεῦδος σὺν ἀσπλαγχνίᾳ καὶ ἀνυποληψίᾳ *κατεδαφίσατε.* ἐγκυμονήσατε τὸ ἀληθὲς ἐν νοῒ καὶ γόνον φιλίας τέξατε ἐμψυχωθέντα τῇ ὑπολήψει λαμπρῶς. λάμψατε ὡς ἀστέρες καὶ τῇ φωτεινῇ λαμπη-
475 δόνι τῆς ἀκραιφνοῦς ὑμῶν καθαρότητος ἑλκύσητε ἂν ἀληθῶς τοῦ κυρίου ὑμῶν τοὺς καρδιακοὺς νοεροὺς ὀφθαλμούς. καὶ γὰρ εἰ πάντα ταῦτα δικαίως τῷ κυρίῳ ὑμῶν ἀπονείμητε, ψυχήν, σῶμα, λόγον, γνῶσιν, σάρκα, πνεῦμα, δόξαν, πλοῦτον, τιμήν, εἰρήνην, γαλήνην, εὐμέ-
480 νειαν, ἀγάπην, καὶ πάντα οὗτος τὰ αὐτοῦ ἀδιακρίτως δώσει ὑμῖν, ὡς γνησίοις τέκνοις φίλοις καὶ δούλοις αὐτοῦ".

F **463–464** γνῶτε~ποιμένα: cf. ev. Ioh. 10,4 ‖ **466** ev. Ioh. 10,11; 13,37.38; 15,13 ‖ **469–472** Septuag. ps. 136,8–9 ‖ **474** cf. ev. Matth. 5,16 λαμψάτω τὸ φῶς ὑμῶν ‖ **477 sqq.** cf. Bas. Imp. exhort. cap. 35 = PG CVII, XL a 4–5 = 62,14–15 Emm. χάρις μὲν γὰρ ἀνταποδιδομένη πλεονάζεται

L **469** ἐλαχιστωτέρων **B**[ac] **A** ‖ **473** τάξατε **D** ‖ **476** καὶ post καρδιακοὺς add. **D** ‖ **478** ἀπονείμητε scripsi: ἀπονείμετε codd. ‖ **481** φίλοις καὶ δούλοις] δ. καὶ φ. **C**

M **480–481** ση(μείωσαι) **A**

10. Ταῦτα πάντα διὰ τὴν σὴν ἀγάπην, ὦ παῖ φίλτατε κάλλιστε εὐνοϊκέ, τουτῳὶ τῷ λόγῳ συντέθεικα τὸ μὲν καὶ ὡς πρωτοτύπους πίνακας ἀρετῶν, τὸ δὲ καὶ διὰ τὴν 485 σὴν καλλίστην ἀξίωσιν· οὐδὲ γὰρ ἀνωφελὲς πρᾶγμα ἡ σὴ ἀγχίνοια παρ' ἡμῶν ἐξεζήτησεν, ἀλλὰ τὸ κρεῖττον πάντων καὶ ὑπερέκεινα. οἷον δέ ἐστιν εἰ μέμνησαι λέξον, εἰ δ' ἐρεῖς κἀγὼ εἴπω τὸ αἰτηθέν. ἀλλ' ὅμως οἶδα προτρέπεις μοι, κἀγὼ δὲ ἤδη τοῦτο λέξω ἐκ σοῦ· τὸ δέ ἐστι 490 πῶς δεῖ τοὺς δούλους θεραπεύειν τοὺς δεσπότας ἁπανταχῇ καὶ πῶς ἀξίως στέργειν τὰ αὐτῶν θελητά. εἰ μέμνησαι τοῦτο ἦν καὶ ἰδοὺ ἀπόλαβε τῶν καρπῶν. εἰ γοῦν καὶ σοὶ καὶ τοῖς ἄλλοις ἡ τοῦ λόγου διαρτία φανῇ ὡς ἁρμόδιος, δόξα τῷ τεχνεργάτῃ θεῷ· εἰ δ' οὖν, ὅμως ἡ 495 προθυμία στερχθήσεται. ὁ δὲ 'τῶν σοφῶν διορθωτὴς' καταργῆσαι τὰς δοκήσεις τῶν πονηρῶν καὶ ἡμᾶς σοφίσαι τῇ ἐνεργείᾳ τοῦ πνεύματος.

H **483** Georgius Muzalon

F **496** Septuag. sap. 7,15

L **483** ταῦτα πάντα in textu omissa add. **B**[m] || **488** ὑπερεπέκεινα **A** || **498** πνεύματος] πν. τοῦ ἁγίου **AC** ἁγίου πν. **D**

8
LAVDATIO VERIS ATQVE VENVSTI VIRI

Oratio principium a sententia illa tacite ducit, ex qua tria praesertim hominum ingenia sunt, quo modo Plato tres docuit esse animae partes, λόγον, θυμόν, ἐπιθυμίαν: nam unicuique animae parti suum proprium ingenium convenit. qua de re vir venustus, potiore ingenio praeditus et omni virtute excellentiaque ornatus, utpote qui mores suos ad rationem omnino dirigit, maximas laudes meret. ab hoc initio profectus, Theodorus noster iucunditatem atque gratiam venusti viri idem valere ac veris pulchritudinem diserte contendit.

Τοῦ αὐτοῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι
τοῦ υἱοῦ τοῦ ὑψηλοτάτου βασιλέως κυροῦ Ἰωάννου τοῦ
Δούκα ἐγκώμιον εἰς τὸ ἔαρ καὶ τὸν χαρίεντα

1. Συλῶν τις εὐφραίνει τὰ σωματικὰ αἰσθητήρια, τοῖς
ἐν γῇ τε νόθοις ἐπεντρυφῶν καὶ ἐπ' ἀλλοτρίοις γηθόμε- 5
νος οὐκ ἔχει μνήμην τῆς ἀρετῆς· ἕτερος δέ γε κόπῳ κερ-
δαίνει τὴν ἀρετὴν θύραθεν, μεθ' ἧς συνεισφέρει καὶ διτ-
τῶς τὴν τροφήν, σωματικήν τε καὶ νοεράν· τὴν μὲν ἑπο-
μένως διὰ τὴν μισθαποδοσίαν, τὴν δὲ οὐσιοῦται πρὸς
τὴν ψυχὴν διὰ τὸ φύσει πολύζηλόν τε καὶ πολυδόξα- 10
στον, ὅθεν καὶ οὕτως τὰ τῶν αἰσθητηρίων ἡδύνει ὁρμή-
ματα καὶ τῇ ψυχῇ ἀσινὴς μένει μηδὲν συλῶν, καὶ οὕτω
δὴ εὐφραινόμενος· ἕτερος δὲ φύσει ἔχων τὸ χάριεν φι-
λεῖται τοῖς ἅπασι, ποθεινός τε καθεστηκὼς τῇ φυσικῇ
τούτου ἁπλότητι καὶ τῇ ἐνδιαθέτῳ καὶ χαριεστάτῃ προ- 15
σομιλήσει, ἀεὶ τῇ ψυχῇ χαίρει *τρυφὴν* ἔχων τὴν *ἀνεκλά-
λητον.* τούτου καὶ ὀφθαλμοὶ μὲν πάλλουσιν, αἱ παρειαὶ
δὲ ἐρυθρορροοῦσι τὴν εὔχροιαν καὶ τὸ βάδισμα αὐτοῦ
ἐλαφρὸν καὶ κίνημα τοῦ σώματος εὐσταλέστερον, καὶ
γέλως ἀεὶ τοῖς χείλεσι περιπολεῖ καὶ τῷ στόματι, τῇ 20
ψυχῇ τε γέγηθε καὶ τῇ σωματικῇ διαπαντὸς εὐστελεχίᾳ

H **4–17** ad tria genera hominum pertinet sermo, de quibus cf. **7,95.101.105**, ubi homo pro suo ingenio γεώδης καὶ σαρκικός, ψυχικός et θεῖος καὶ ὑψηλός appellatur

F **7–8** διττῶς ~ νοεράν: cf. Septuag. deut. 8,3 ev. Matth. 4,4 Clem. Al. str. I 1,7,2 = 6,16–17 Stähl. – Fr. || **16–17** Petr. ep. 1,1,8

L **2–3** τοῦ υἱοῦ ~ τοῦ Δούκα om. **D** || **2** κυρίου **C** || **4** συλῶν] ἀΰλων **D** υλὼν **C** || **8** τρυφὴν **D** || **16** ψυχικῇ **C** | τὴν om. **C** || **17** πορεῖαι **D** || **20** τῷ] τὸ **A** || **21** (et **25.31**) διὰ παντὸς **AC**

καλλύνεταί τε καὶ ὡραΐζεται. ἔαρος οὗτος αἰθρίαν ἔχων περὶ τὸ πρόσωπον, ἀειθαλεῖς δὲ καρποὺς ἀρετῆς οἱ πρὸς αὐτὸν ἐνορῶντες δρέπονται καὶ τούτοις ἐπεντρυ-
25 φῶσι διαπαντός, πολλήν τε καὶ ἐράσμιον τὴν ὄνησιν κερδαίνοντες ἐξ αὐτοῦ.

2. Καὶ γὰρ οὐ πόρρω χαρίεντος τὰ τοῦ ἔαρος ἰδιώματα καθεστήκασι· τὸ μὲν καὶ γὰρ ἐν τῇ αὐτοῦ παρουσίᾳ τὸ τῆς χθονὸς περικαλλύνει πρόσωπον ταῖς φυού-
30 σαις βοτάναις καὶ τῷ ποικίλῳ τῆς αὐτῶν χροιᾶς καὶ πολυειδεῖ συναυξανομένῳ ταύταις διαπαντός· ὁ δὲ τῇ τῆς ἀρετῆς ποικιλίᾳ τε καὶ σπουδῇ τὴν τούτου ἀειθαλῆ εἶναι κατασκευάζει ψυχήν, εὐθυμίαν ἀνθοῦσαν εὐχροίᾳ ἄντικρυς. καὶ γὰρ ὁπόταν τὸ θηριῶδες καὶ βλοσσυρὸν
35 ἀποκρούσηται ἐκ ψυχῆς, ὥσπερ τινὰς ἀτμοὺς ἀηδεῖς καὶ στυγνότητας, καὶ τὴν ἐαρινὴν ἐπενδυθῇ διὰ τῆς ἁπλότητος οἱονεὶ ἔλλαμψιν, τίς οὐκ ἂν ἀγάσαιτο τοῦτον καὶ περιπτύξαιτο; τίς οὐ συνομιλήσειε, τίς οὐ κοινωνήσειε λόγων αὐτῷ καὶ περιθαλφθῇ τοῖς τούτου νοήμασιν;
40 ἐπεὶ καὶ τῇ ἐαρινῇ χλοηφορίᾳ οἱ πολλοὶ πολλάκις τὴν αὐτῶν καταστέφουσι κεφαλήν, καὶ ταῖς τούτου ἁπλουστάταις ἀναστροφαῖς οἶδ' ὅτι πᾶς ὁ ἀληθῶς αὐτὸν ἐκμιμούμενος τὴν ἑαυτοῦ καταστέψει ψυχήν, καὶ χειμῶνι μίσους τὴν οἰκείαν οὐ ζοφωθήσεται κεφαλὴν πώποτε.
45 καὶ γὰρ τοῦ χαρίεντος εἰρήνη προτρέχει, τὴν ὁδὸν ἐν ἀληθείᾳ τούτου καταλεαίνουσα, ὅτι καὶ τὸ κοινωνικὸν ἰδιαιτάτως οἴκοθεν ἔχων ὁ χαρίεις περίβλεπτος τοῖς πᾶσι διὰ τοῦτο ἐμφαίνεται· διότι καὶ 'τὸ περικάρδιον'

F **48–49** Emped. fr. B 105,3 D.–K.

L **28** καὶ **C**[sl] ‖ **37–38** τίς οὐκ ἂν ~ περιπτύξαιτο ex homoeot. om. **D** ‖ **38** περιπτύξετο **BA** | οὐ[2] om. **D** ‖ **41 sq.** ἁπλουστέραις **A** ‖ **43** καταστέφει **C** ‖ **44** οἰκείαν] ἰδίαν **C**

καὶ ζωτικὸν 'αἷμα' αὐτοῦ κινηθὲν ἐν θερμότητι τόνου
καρδιακοῦ, οὐ πρὸς θηριῶδες παραυτίκα θυμοειδὲς ὅρ- 50
μημα μεταβάλλεται, ἀλλὰ τῇ τοῦ κοινωνικοῦ ἀρετῇ
τοῦτ' αὐτὸ τὸ ὅρμημα ἑνωθὲν ἐξακοντίζει καρδιακοὺς
λόγους εἰρήνης μεστούς, πολλῷ πλέον ἀνθοφοροῦντας
τὴν καλλιέπειαν, ἢ στελέχη φυτῶν τὰ τῶν ἀνθέων ἀει-
θαλῆ ἐπενδύματα ἐν ἐαρινῷ καιρῷ ἐπενδύονται· διότι 55
καλοκἀγαθίας μεστὰ ἡ γλῶττα τοῦ χαρίεντος ἀεὶ ῥέει
τὰ ἐξαγγέλματα, καὶ ἡ ὄψις αὐτοῦ Μαγνίτου δίκην πάν-
των ψυχάς, καὶ σιδήρου δυσκινητοτέρας οὔσας, ἕλκει τῇ
ἀνθοφορίᾳ τῆς γαληνότητος, πολὺν ἔχοντος τούτου τῆς
εἰρήνης τὸν θησαυρόν, ἐπεὶ καὶ *περιστερὰν χρυσαυγίζου-* 60
σαν τὰ ταύτης μετάφρενα οὗτος τῇ ἱλαρότητι λίαν ὑπερ-
νικᾷ χλοηφορῶν ἐν ταῖς ἀρεταῖς, καὶ κατὰ τὸν φάμενον
γέλως 'ἕρκους ὀδόντων' προκύπτων, καὶ πελμάτων πο-
ρεία, καὶ ὄψις τῶν παρειῶν, τὴν ἔσωθεν τοῦ ἀνδρὸς
καρδιακὴν διάθεσιν ἀληθῶς ὑπεμφαίνουσιν, ὅτι καὶ 65
ἀληθινοῦ χαρίεντος συνομίλησις τὴν αὐτοῦ ψυχὴν φω-
ταυγῆ καὶ μαρμαίρουσαν ἀριδήλως παρίστησιν ἐν τῇ
ἐαρινῇ τῶν λόγων αὐτοῦ αἰθρίᾳ καὶ φαύσει καὶ γαληνό-
τητι.

3. Καὶ γὰρ ὄντως φῶς ἐστιν ὁ χαρίεις, λαμπηδὼν 70
ἀληθείας, σπινθὴρ 'τοῦ πρώτου φωτὸς' καὶ ἀστραπὴ
τὰς ἐζοφωμένας καρδίας τῇ φαύσει ταύτης ἐξαπελέγ-
χουσα, ἐπεὶ καὶ ῥεῦμα Ῥήνου τὰ νόθα γεννήματα τῶν

F **60–61** Septuag. ps. 67,14 || **63** Hom. Il. IV 350; IX 409 Od. X 328 || **71** Eus. Caes. eccl. theol. I 20 = 92,24–25 Klost. – Hans. || **73–74** ῥεῦμα ~ ἀποδιΐστησι: cf. Apost. XIII 1ᵇ = CPG II 569,10 Iulian. or. 3,25 = I¹ 156,24–29 Bid. ep. (spur.)

L **55** καιρῷ] καινῷ **D** || **70** ὄντι **A**

M **63** ὡρ(αῖον) **D**

γνησίων ἀποδιΐστησι, καὶ τῇ χωνείᾳ τὸ χρυσίον ἀποβάλ-
75 λει τὸν ῥύπον καὶ δείκνυσιν ὅπερ ἦν, καὶ τὸ φῶς τῷ
σκότει προσβαλὸν δείκνυσιν αὐτοῦ τὸ ἀνούσιον, καὶ χα-
ρίεντος ἀνδρὸς εὐμαρὲς βάδισμα καὶ ἰδίωμα τὰ κα-
κοήθη τῶν ὑπούλων καὶ σκολιὰ παρίστησι διαβούλια,
καθὰ καὶ φαῦσις ἐαρινὴ τὰ τῆς χειμωνικῆς στυγνότητος
80 ἐπιθέματα. καὶ γὰρ τοῦ χειμῶνος παρελθόντος καὶ τῆς
τοῦ περιπολάζοντος ὕδατος πλημμύρας διαδραμούσης,
ἔαρ ὡραΐζει τὰ σύμπαντα, κἀντεῦθεν βοτάναι μὲν
φύουσι, χλοάζει δὲ καὶ ἡ γῆ, θάλλουσιν τὰ φυτά, ἀν-
θοῦσι κατὰ πολὺ καὶ περικαλλύνουσι τὴν ὑφήλιον· ἄλση
85 τότε ποικιλίαν χλοηφοροῦσι, χόρτος μηκύνεται, στελέχη
τὸ τῶν φύλλων ἐπενδύονται εὔσκιον, πολύχρους ἡ γῆ
τὴν αἴσθησιν περισύρουσα, ἐρυθροκομοῦσα τὴν κεφα-
λὴν καὶ πλείστῃ ποικιλίᾳ καλλωπιζομένη τῶν ἐνδυμά-
των αὐτῆς, ὅτε δέ γε καὶ πορφυρίζουσα ὡσαύτως δὲ καὶ
90 χλοάζουσα· καὶ σμαράγδου λίθου φαινομένης ἀειθαλε-
στέρας, ὀσμὴ ἐκ ταύτης ἐξέρχεται ψυχὴν ὄντως ἀρωμα-
τίζουσα. τῇ τοῦ ἡλίου καὶ γὰρ δυναμικῇ ἐνάρξει καὶ
φαύσει καὶ τῇ τῆς ὥρας ἐναλλαγῇ ἐκ χειμῶνος εἰς γα-
ληνότητα, καὶ τῇ ἐαρινῇ γλυκύτητί τε καὶ ἰδιότητι, καὶ
95 γῆ καὶ φυτὰ καὶ ἀὴρ καὶ σώματα καὶ ὅσα εἰσὶν ὑπὸ τὸν
οὐρανὸν ἐκ χειμωνιχῆς κακίας εἰς ἐαρινὴν γλυκύτητα
μεταβάλλονται. οὕτω καὶ χαρίεις ἀνὴρ καὶ τὴν ψυχὴν
ἀγαθός, ὁπόταν ἐκ ψυχῆς ῥιζοτομήσῃ πᾶν περικάλυμμα
καὶ περίβλημα πονηρίας, καὶ ἐκδιώξῃ κακίαν καὶ ἀφα-

F 191 = I[2] 247,11–18 Bid. Liban. or. 12,48 = II 26,10–12 Först. Greg. Naz. carm. II 2,4,143 = PG XXXVII 1516 a Georg. Pis. exp. Pers. I 41 = 86 Pert. Anth. Pal. IX 125 (anonym.)

L **76** προσβαλὼν **D** ‖ **85** στελέγχη **A**

νίσῃ τὸ ὕπουλον καὶ ἐκτεμῇ τὸ πολυσχιδὲς μέρος τε καὶ 100
ψευστὸν τῶν ἀστάτων καὶ δεινῶν καὶ θηριωδῶν λογισμῶν, ὥσπερ ἡ τοῦ ἀέρος ἐπέλευσις τὰς χειμωνικὰς μυρίας παραφθοράς, καὶ ναρκώσῃ καταρράκτας τοὺς παρὰ φύσιν ἐν τῇ ψυχῇ, καὶ ἀποκλείσῃ τούτους τοῦ μὴ βρέχειν θυμόν τε καὶ παράλογον ἐπιθυμίαν, ἃ καὶ τῆς 105
πονηρίας βουλεύματα καθεστήκασι, καὶ τὸ τῆς ἁπλότητος τότε ἔαρ ἐπενδυθῇ, καὶ ἡλιακῶν νοημάτων πλοῦτον θησαυρίσῃ περὶ τὸν νοῦν μὴ ἔχοντα τὸ σύνολον μοῖραν ῥυπάνσεως ἐκ χαλκοῦ καὶ ἀργύρου τε καὶ ὀστράκου, καὶ τὴν φυσικὴν αὐτοῦ ἁπλότητα ὥσπερ κόσμον ἐπεν- 110
δυθῇ πολύτιμόν τε καὶ πολυέραστον, ἐκφύει καὶ οὗτος ὄντως τότε τὰ ἀγαθά. ὅθεν καὶ τῇ χαριεστάτῃ πράξει τὴν προσηγορίαν, καθὰ καὶ τὸ ἔαρ τῇ τῶν φυτῶν καλλονῇ, ἁρμόσας ὁ χαρίεις, ἀπόζει 'μύρου ὀσμὴν' ἐκ φωνῆς τῆς ἑαυτοῦ γλώττης τε καὶ τοῦ φάρυγγος, καὶ το- 115
σοῦτον οὗτός ἐστιν ἡδύτατος, ὥστε καὶ χεῦμα ποταμηδὸν μελίρρυτόν τε καὶ συνεχὲς ὑπερνικᾶν αὐτὸν τῇ τῆς γλώττης εὐστροφίᾳ καὶ τῇ ἡδύτητι.

4. Ἀλλὰ τοῦτον τίς οὐκ ἂν φίλον ἔχειν θελήσειε τὸν ὄντως ἀειθαλῆ; διττὴν καὶ γὰρ ἐγὼ φιλίαν ἔγνων τὴν 120
τῶν βροτῶν, μᾶλλον δὲ καὶ ἐκ τῶν βροτῶν, θείαν δὴ καὶ ἀνθρωπίνην φημί· καὶ ἡ μὲν ὑπερανῴκισται τῶν γηίνων χαρίτων καὶ φιλοτιμημάτων ἀσυγκρίτως τε καὶ ἀμέτρως, ἧς καὶ μόνοι κατατρυφῶσι οἱ ψαύειν δι' ἀρετῆς ἠξιωμένοι τῷ θείῳ καθὼς ἐφικτὸν ἀνθρώπῳ – οὗ τί ἂν 125

F **114** ev. Ioh. 12,3 || **120–122** διττὴν ~ φημί: cf. Arist. eth. Nicom. VIII 1156 b 7–36; 1157 b 1–5.25–26 m. mor. II 1209 b 18–21 eth. Eud. VII 1236 b 1–6 || **124–125** cf. Plat. Theaet. 176 b 1–2 ... ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν

L **100** ὑποῦλον **BAD** | an ἐκτέμῃ scribend.? | πολυσχεδὲς **AD** || **103** παραφορὰς **D** || **115** τοῦ om. **D** || **119** ἀλλὰ om. **C**

μακαριώτερον καὶ θειότερον γένοιτο; –, ἡ δὲ βροτῶν καὶ πρὸς τοὺς βροτούς. καὶ γὰρ *τῷ ὁμοίῳ χαίρει τὸ ὅμοιον*, διότι καὶ φῶς φωτὶ ἑνωθὲν λαμπρότερον ἀποδείκνυται τῇ ἑνώσει τοῦ συγγενοῦς, καὶ ῥοῦς ῥοῒ ῥύακος
130 ἑνωθεὶς πλημμυροῖ τὸν χευματισμόν, καὶ φωνὴ φωνῇ συμμιχθεῖσα ἐκπέμπει ψόφον Στεντόρειον, καὶ φιλία φιλίᾳ συνανακραθεῖσα ἀληθινῶς ἀνάπτει φλόγα δίκην πυρσοῦ, ἐκ ζόφου ἀφεγγοῦς τῆς κακίας τὰς τῶν φιλούντων ψυχὰς φωτίζουσα καὶ ἐξαίρουσα τῇ ταύτης λαμπη-
135 δόνι τῇ καθαρᾷ. εἰ οὖν οὕτως ταῦτα καθέστηκε, τίς οὐκ ἂν φιλίαν ἀσπάσαιτο; τίς οὐκ ἂν τὸν χαρίεντα φιλήσῃ ἢ τὸν δεινόν; καὶ γὰρ ἀνὴρ χαρίεις οὐ λυπήσει συνομιλούμενος πώποτε, οὐ δεινώσει ψυχήν, οὐ κινήσει θυμόν, οὐκ ἐγερεῖ θηριωδίαν ἐν τῇ ψυχῇ, διότι καὶ αὐτῶν τῶν τῆς
140 ψυχῆς λυπηρῶν συμβαμάτων τῇ γλώττῃ οὗτος καταστέλλει τὰ οἰδήματα, ἐπεὶ καὶ τὴν Ὀρφέως λύραν ὑπερβαίνει κατὰ πολὺ μελουργίας ἐμψυχωμένας ἀποφθεγγόμενος, καὶ καθ' Ὅμηρον ἀπὸ γλώττης τούτου 'μέλιτος γλυκίων' *ῥέει* 'αὐδή'.
145 5. Ἀλλ' εἰ καὶ γῆν ἀγαθὴν τάχ' ἄν τις εἴπῃ τὸν χαρίεντα, οὐδ' ὅλως τοῦ σκοποῦ ἁμαρτήσειε. καὶ γὰρ ὑπὲρ βάλσαμα καὶ κρίνα τὰ ὡραῖα καὶ εὔοσμα φύων οὗτος τὰς ἀρετάς, ἐκ τῆς ἀγαθῆς καρδιακῆς ταύτας γῆς ἐκ-

F **127–128** Apost. XII 68 = CPG II 559,8–9 Hom. Od. XVII 218 Plat. Gorg. 510 b 5–7 Arist. eth. Nicom. VIII 1155 a 32–34 eth. Eud. VII 1235 a 5–6; 1239 b 17–18 Porph. ad Marcell. 19 = 287,2 Nauck cf. etiam Septuag. Sirac. 13,15 || **131** cf. Hom. Il. V 785–786 et vid. Karathanasis p. 30, n. 28 Strömberg p. 58, n. 13 || **143–144** Hom. Il. I 249

L **131** Στεντόρειον scripsi: -τώρειον codd.

P **127–128** cf. **2,894**

πέμπει τῇ εὐοσμίᾳ τὰς τῶν φίλων αὐτοῦ διανοίας καθι-
λαρυνούσας κατὰ πολύ. οἵας καὶ γὰρ οἱ πρὸς γῆν ἀκαν- 150
θώδη τε καὶ σκληρὰν πληγὰς ὁδεύοντες ὑποστήσονται,
κνημίδας τε καὶ πέλματα κατατιτρωσκόμενοι καὶ μέχρι
τῆς ὀσφύος αἱμασσόμενοι τῇ σαρκὶ ἔκ τε τῶν ἀκανθῶν
τε καὶ τῶν τριβόλων, ἔκ τε τῆς ἐκτόπου σκληρότητος
καὶ στυγνότητος, τοιαῦτα πάθη δέξεται τῇ ψυχῇ καὶ ὁ 155
μὴ φίλον χαρίεντα σχών, ἀλλὰ τεθηριωμένον τε καὶ δει-
νόν· ὁ δὲ φίλον χαρίεντα σχών, ἔσχεν ἐαρινῆς αἰθρίας
τὴν γαληνότητα, ἐν ᾗ καὶ λόγων φιλικῶν νοσσιαὶ τῆς
τῶν ὀψιγόνων καὶ ἡδυτάτων ἐνθυμημάτων πληθύος, ὥ-
σπερ στρουθίων, πληροῦνται κατὰ πολύ, παρὰ τῆς χα- 160
ριεστάτης αἰθρίας τοῦ χαρίεντος, καθάπερ γαληνότητι
ἔαρος, ἡδυνομένων καὶ ἐκτρεφομένων αὐτῶν. καὶ γὰρ
ἐπιδημήσαντος ἔαρος ἐν καιρῷ καὶ τῇ τῆς ὥρας ἐναλ-
λαγῇ μεταβάλλοντος τοῦ ἀέρος, καὶ τὰ σὺν αὐτῷ σύ-
στοιχα στοιχεῖα συμμεταβάλλουσιν ἐκ χειμωνικῆς ὀμφα- 165
κώδους καὶ συγχυτικῆς κινήσεως εἰς πέπανσιν τάξεως.
διὸ καὶ τῇ τῶν στοιχείων ἀλλοιώσει καὶ τῇ τῆς ὥρας ἐν-
αλλαγῇ ἐκ στυγνότητος τῆς χειμωνικῆς εἰς ἐαρινὴν ἱλα-
ρότητα, καὶ αὐτῶν τῶν ἀψύχων σπερμάτων καὶ ἀλόγων
ἡ φύσις ὥσπερ φυσικήν τινα ἐπίδοσιν ἐπεκτείνεται, κἀν- 170
τεῦθεν φύει μέν χόρτος, θάλλουσι δὲ ἄλση, κομῶσι δέ
γε μέχρι ποδῶν ἀπὸ κεφαλῆς 'οὔρεα σκιόεντα' παμπλη-
θεῖ τῷ τῶν φυτῶν ἐνδύματι καλλυνόμενα· ἐν τούτοις
πλῆθος πτηνῶν, τῶν μὲν νοσσιὰς κατασκευαζόντων,
τῶν δὲ τρεφόντων τὰ νεογνά, ἑτέρων δὲ διδασκόντων 175

F 172 Hom. Il. I 157 Od. VII 268 Pind. Pyth. 9,34

L **153** ἁμασσόμενοι **D** || **159** ὀψιιόνων **BA** || **162** καὶ γὰρ fere evan. in **B**, om. **A** || **166** συγχητικῆς **A** | πέπαυσιν **C** || **170** διὰ ante φυσικήν fort. inserend.

ταῦτα πτῆσιν τὴν ταχινήν· ἐκεῖ μουσικώτερον ἀηδὼν ᾄδει, τρυγὼν δὲ χαίρει τοῖς κρότοις, εἰ καὶ χελιδὼν ἀρχῆθεν καὶ πρὶν καὶ πρὸ τούτων ἔφερε τὴν τοῦ ἔαρος ἐνδημίαν, τὴν καὶ παρ' αὐτοῖς ποθεινήν. τῶν τοιούτων
180 τῆς μελουργίας ᾖσαν ἂν ἐπαίνους καὶ Πίνδαρος καὶ Ὀρφεύς, εἴπερ ἤκουσαν τῆς ἄνευ χορδῶν καὶ αὐλῶν μελουργούσης ἐμψυχωμένης ἁρμονίας ἀπήχημα, διότι καὶ συνεχῆ τὰ τῶν στρουθῶν μελουργήματα τῷ ἀέρι συνανακρούονται πάννυχον ἅμα καὶ πανημέριον ἐξαγγέλ-
185 λοντα τὴν ἡδύτητα τοῖς ἴσοις στρουθοῖς, ἀγαλλόμενά τε καὶ συγχαίροντα τὰ τούτοις ἶσα πτηνά. τῇ γὰρ ἐαρινῇ φυσικῇ γλυκύτητι καὶ θερμότητι, ἢ μᾶλλον εἰπεῖν εὐκρασίᾳ τὸ ἀληθέστερον, ζωπυρούμενα οἴκοθεν τὰ τούτων κινήματα ἐξηχοῦσι τὴν τῶν ὀργάνων αὐτῶν φωνήν, ὡς
190 ἄν τις εἴπῃ, γνώσεως καταγλυκαίνουσαν φάρυγγα, ἐπεὶ καὶ πολλάκις, μᾶλλον δέ γε πλειστάκις, οἱ τρίβον διανύοντες, ὕπνου μέρος γευόμενοι, ἡδύνονται τὰς ψυχὰς εἴπερ εἰς 'ἀλσώδη τόπον' ὑπνώσσουσι πρὸς μικρόν, τῇ τῶν στρουθίων καλλίστῃ εὐμουσίᾳ καθιλαρυνόμενοι.
195 τοῦτ' αὐτὸ δὲ καὶ πᾶς ἀνὴρ χαρίεντος φίλου τετυχηκὼς ἡδύνεται τὴν ψυχὴν ἐκ τῆς τούτου καθεκάστην συνομιλήσεως· οἱονεὶ καὶ γὰρ ἐαρινὴν καὶ οὗτος ἔχει φαῦσιν πρὸς τὴν ψυχήν. ἐκεῖθεν δ' αὖ θερμαίνων τοὺς καρδιακοὺς αὐτοῦ διαλογισμούς, οἷα μελουργήματα στρουθίων
200 παντοδαπῶν ὠσὶ κροτοῦντα τοῖς φιλικοῖς τὴν εὐμουσίαν αὐτῶν, ἐξαποστέλλει λόγους κελαδοῦντας διὰ τοῦ στόματος. ταῦτα καθεστήκασι τὰ τοῦ χαρίεντος ἰδιώματα,

F **193** cf. Nicand. Thyat. ap. Athen. XI 503 c 9–10 Diosc. de mat. med. IV 86 = II 246,11–12 Wellm.

L **178** καὶ[2] om. **D** | ἀέρος **D** ‖ **179** ἐνδυμίαν **B**[ac] ‖ **181 sq.** μελουργήσης **C** ‖ **182** ἐμψυχομένης **A** ‖ **193** ὑπνώσουσι *x* ‖ **196** καθ' ἑκάστην **D**

ταῦτα τὰ τούτου σχήματα, ταῦτα τὰ τούτου τοῖς ἅπασι ποθεινὰ ἐξαγγέλματα.

6. Ἐγὼ δὲ τί ἕτερον ἀποφθέγξομαι; ὀσμὴ ἀνθέων 205 ἐστὶν ὄντως ὁ χαρίεις. καὶ γὰρ καὶ τὰ τῶν μυριστικῶν ὀπῶν τέ φημι καὶ τεχνασμάτων εἴδη τῇ λεπτομερείᾳ διὰ τῶν τῆς αἰσθήσεως πόρων δραμόντα πρὸς τὰ ἐνδότερα, ἅπτονται τῆς καρδίας διὰ τῶν μυῶν φλεβῶν τε καὶ ἀρτηριῶν, τῶν ὀργάνων δὴ τῶν καρδιακῶν· ἐκεῖθεν δ' αὖ 210 διὰ τῶν ὡσαύτως φλεβῶν μυῶν τε καὶ ἀρτηριῶν πρὸς τὸν ἐγκέφαλον μεταπέμπονται, καὶ ἡδονὴ κἀντεῦθεν διαλαμβάνει τὰ ζωτικὰ πάντα μόρια τῇ τῶν μυρισμάτων ποικιλίᾳ καὶ ἀγαλλιάσει. ἀλλ'αὐτὰ μέν, ἅτε σωματικὰ ὄντα, ἡδύνουσι τὰ σωματικὰ ὄργανα, ὁ δὲ λόγος 215 ἐκ τῆς τοῦ χαρίεντος ἐξακοντιζόμενος ἄϋλος ὤν, τὴν ἀϋλοτάτην φύσιν καθιλαρύνει τὴν τῆς ψυχῆς· οὐκ ἐν χρόνῳ καὶ διὰ φλεβῶν τε καὶ ἀρτηριῶν, ἀλλ' αὐτομάτως ἔχων τὸ χάριεν οἱονεὶ δραστικήν τινα λεπτομέρειαν ἅπτεται τῆς ψυχῆς, πολλὴν ταύτῃ ποιῶν τὴν *εὐθυμίαν* καὶ 220 *ἀνεκλάλητον*. ἀλλὰ τί ταῦτα; ὅστις ἔγνω τὸν χαρίεντα, ἀμυδρὸν ἔσχεν ὄντως εἰκόνισμα τῆς ἐλπιζομένης χαρᾶς. οὗτος καὶ γὰρ παράδεισος καθέστηκεν εὔοσμος, ἄνθη μὲν ἔχων τὰς ἐκ τῆς ὄψεως τῶν παρειῶν τε καὶ τῶν ὀφθαλμῶν ἀποπαλλομένας μαρμαρυγάς, καρπὸν δὲ καλ- 225 λίδρεπτον τὴν ἐρυθρόχροιαν τῆς σαρκός, καὶ στελέχη βρίθοντα φυλλισμὸν τοὺς ἐκ τῆς γλώττης ἀναβλαστανο-

F **206–214** cf. Arist. de sens. 444 a 22–33 Galen. instr. odor. 3 sqq. = II 866,4 sqq. Kühn ‖ **220–221** vid. ad 16–17

L **210–211** τῶν ὀργάνων ~ ἀρτηριῶν ex homoeot. om. **C** ‖ **214** ἀλλ' αὐτὰ] ἀλλὰ τὰ **A** ‖ **216** γλώττης post χαρίεντος fort. inserend. ‖ **225 sq.** καλλίδρεπον **D**

M **206** περὶ ὀσφρήσεως **D**

μένους λόγους ἀειθαλεῖς· καὶ ὅλος οὗτος εὐγενὴς ὅρπηξ
ἐκ ψυχικῆς οἰκείας ῥίζης ἀναφυόμενος, οὐ κατὰ τὸν ἐα-
230 ρινὸν μόνον καιρὸν ἔχων ἄνθη φύλλα καὶ τοὺς καρπούς,
ἀλλὰ κατὰ τὴν τετραδικὴν ὥραν τοῦ ἐνιαυτοῦ τῇ τῶν
φύλλων καὶ τῶν ἀνθέων καὶ τῶν καρπῶν καλλιγραμμίᾳ
ἀεὶ κατακαλλυνόμενος, ἔστιν ὄντως 'παράδεισος λογι-
κός'. στιλπνὸς δὲ ὅλος ἐν ταῖς τῶν ἀρετῶν ἰδέαις κα-
235 θεστηκώς, οἷα φαῦσις πυρὸς καταλαμπρύνει τὸν δίσκον
τοῦ σώματος, κἀντεῦθεν ἐφέλκει καὶ συνεφέλκει τὴν
ὅρασιν, ὥστε τὴν αὐτοῦ χαριεστάτην τῶν ἀρετῶν ἐνο-
ρᾶν χύσιν πολύκρουνον.

7. Ἀλλ' ὦ ἀνδρὸς χαριεστάτου γλῶττα μελίρρυτε. ὦ
240 ἀέρος αἰθρία περίβλεπτε. ὦ ὀφθαλμοὶ χαρίεντος ἀγαλ-
λίασιν πάλλοντες. ὦ ἐαρινῆς ἡμερότης γλυκύτητος. ὦ
χείλη χαρίεντος ἔπος ἀνθηφόρον βρύοντα. ὦ ἐαρινῆς
φαύσεως χύσις ἀκένωτε. ὦ χαρίεντος βάδισμα μὴ ναρ-
κώμενον ἐπιτηδεύμασι πονηρῶν. ὦ ἐαρινὴ τοῖς φυτοῖς
245 φυσική τις ἐκκεχυμένη εὔχροια. ὦ ἰδιώματα χαρίεντος
καὶ τοῦ ἐαρινοῦ καιροῦ τεράστια ἰδιαίτατα. ὄντως ἀλ-
λήλαις αἱ τῶν ἀμφοτέρων ὁρμαὶ καὶ τὰ ἰδιώματα παρει-
κάζονται, ἀλλὰ ταῦτά εἰσι πάντα τοῦ χαρίεντος τὰ ἐγ-
κώμια καὶ ταῦτά εἰσι πάντα τῆς ἐαρινῆς ἐλλάμψεως τὰ
250 μορφώματα.

Ἐγὼ δὲ τῇ ἐκ τῶν λόγων τούτων ἀνθηφορίᾳ καὶ τῇ
ἐξερχομένῃ ὀδμῇ τοῖς βαθυρρόοις τῶν ἐγκωμίων χεύ-
μασι τὰ σωματικὰ καὶ ψυχικὰ μέρη ἱλαρυνθείς, οὐκ οἶδ'

F 233–234 Procl. Const. or. 6,3 = PG LXV 725 a 2–3

L 229 ψυχῆς **D** ‖ 239 ὢ **D** (et ita semper) | γλῶσσα **D** ‖ **241–242** ὦ ἐαρινῆς ἡμερότης~βρύοντα post **243** ἀκένωτε transp. **D** ‖ **243** χύσις] φύσις **C** ‖ **251** ἀνθοφορίᾳ **D**

ὅ τι πάθοιμι τάχα τὸν χαρίεντα ἐκμιμούμενος, εἰ καὶ μὴ
τὴν ἐαρινὴν ἡμερότητα ἔχω ἐν τῇ ψυχῇ, διότι καὶ στυ- 255
γνότητες καθάπερ χειμῶνι καὶ οἱ λογισμοὶ τὴν ἐμὴν ψυ-
χὴν ἐκταράττουσιν. ἀλλὰ τοῖς ἐαρινοῖς ἰδιώμασι καὶ
ταῖς τοῦ χαρίεντος χάρισι συναναμίξας τὸν λογισμόν,
ἀμβλυνῶ τούτων τὴν σύγχυσιν καὶ τρέψομαι πρὸς ᾠδήν,
ἔαρ καὶ τὸν χαρίεντα ὡς ἐκμιμούμενος. 260

L **257** εἰαρινοῖς **C** ‖ **258** συναμίξας **A** ‖ **259** σύγχησιν **A**

9

SATYRA IN PAEDAGOGVM

Laetitia Theodorus exsultat, cum eius paedagogus – cui nomen fuisse videtur Christophorus Zabareiota (cf. apparatum **H** ad ll. 10–11) –, omnis opprobrii et pravitatis auctor, de vita tandem decesserit. homo ita indoctus et incultus ille fuit, ut, quamvis paedagogus Theodori constitutus esset, discipulum a philosophiae studio vellet prohibere. Noster tamen, cum intellexisset philosophiam humanae vitae summum esse bonum, eam toto corde potissimum dilexit; itaque, auxilio cuiusdam magistri maxima doctrina scientiaque praediti – Georgii sc. Acropolitae, ut videtur –, in studiis progressus multos fecit. quae cum ille animadvertisset, irae plenus, insidias et discipulo et docto magistro coepit moliri. deus vero communivit ambo et e fornace illius flagranti ipsos eripuit. ignominiosus fuit enim hominis obitus, qui, priusquam fraudes suas perfecisset, animam efflavit.

Satyram Theodorus conscripsit ad normam orationis convicii (λόγος ψόγου Graece dicitur), quae in arte rhetorica idem ac laus in contrarium valet. quod autem ad scripturae tempora attinet, cum e ll. 908 sqq. audiamus paedagogi mortem non multo cecidisse post nuptias inter Iohannem III Ducam Batatzen et Annam-Constantiam ca. a. 1244 celebratas, credendum est hanc satyram circa tempora illa confectam esse.

Τοῦ αὐτοῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι
τοῦ υἱοῦ τοῦ ὑψηλοτάτου βασιλέως κυροῦ Ἰωάννου
τοῦ Δούκα κωμῳδία εἰς τὸν βαγιοῦλον αὐτοῦ κάκιστον
καὶ χείριστον ὄντα

1. Ἀπέστη μέσον τῶν καλῶν ἡ κακία, τῶν ἀγαθῶν τὸ 5
αἰσχρόν, τῶν εἰρηνικῶν ἡ ἔχθρα, τῶν μὴ βασκάνων ἡ
βασκανία, τῶν ἀνθρώπων ὁ δαίμων, τῆς ἀληθείας τὸ
ψεῦδος, τῆς δικαιοσύνης ἡ ἀδικία, τῆς γαλήνης ἡ ταραχή, καὶ πάντων τῶν καλῶς πλασθέντων παρὰ θεοῦ
καὶ ὡραίως τὸ πάσης βδελυγμίας ἀνάπλεων· ὁ ἐμὸς ὡς 10
ἡ τύχη παιδαγωγὸς ἔδειξε. θρήνησον οὖν ἀνομία πᾶσά
τε καὶ ἀσέβεια, πλεονεξία καὶ φιλαργυρία, ἔρις καὶ
φθόνος, ζῆλος καὶ ἔπαρσις, δοξομανία καὶ τῦφος, θυμὸς
καὶ ἠλιθιότης, ξηρότης καὶ ἀπληστία, οἴησις καὶ κουφότης, ἀφροσύνη καὶ μιαρότης καὶ πᾶν εἶδος ἄλλο κακίας. 15
ἐλείφθη γὰρ ἐξ ὑμῶν εἰ μὴ τὸ πᾶν τῆς ἰσχύος, τέως δέ
γε τὸ πλεῖον ἐκ τῶν ἀμφοτέρων αἶρον καὶ τὸ διάφορον,
εἴτε τὸ τῆς συνδρομῆς εἴπῃ τις, εἴτε τὸ τῆς ἐφελκύσεώς
τε καὶ λήψεως· φύσει γὰρ ἐπακολουθεῖ τῷ χειρίστῳ τὸ
χεῖρον καὶ προστρέχει κακὸν τῷ κακῷ. διόπερ ἐκ τῶν 20
ἑκατέρων τὸ μὲν ὡς ἴδιον ἄρας, τὸ δ' ἄλλο ὡς συγγενὲς

H **10–11** ὁ ἐμὸς ... παιδαγωγὸς: Christophorus Zabareiota, de quo cf. nostrum in epp. 202.216 = 248,19; 269,35.40–41; 270,49 Festa

F **19–20** cf. Zenob. V 69 = CPG I 148,2 Macar. IV 100 = CPG II 177,5 Apost. XV 15 = CPG II 631,18 κακὸν ἐπὶ κακῷ Macar. V 11 = CPG II 178,9 κακὸν κακῷ ἕπεται

L **2–3** τοῦ υἱοῦ ~ τοῦ Δούκα om. **D** || **2** κυρίου **C** || **4** λόγος θ' post ὄντα add. **A** || **5** ἐπέστη **A** (ἐ- alia m. prob.), **D** || **16** τὸ πᾶν bis scr. **D** || **19** λήψεως scripsi: λείψεως codd. || **21** ἄλλον **D**

ἐφελκύσας συνεῖλεν ὁμοῦ τὸ πᾶν, ἀγαθὰς ὡς ἂν εἴπῃ
τίς πως ἐάσας ὑμᾶς. τῇ γὰρ λείψει τῶν ποιοτήτων ἀλ-
λοιοῦνται τὰ ὑποκείμενα, ὥσπερ δ' αὖ καὶ τῇ κατακε-
25 ράσει τῶν ἑτέρων αὐτὸ τοῦτο πάσχουσι. τί γοῦν δρά-
σετε τῇ κακίᾳ ἡμιτελεῖς ἐναπολειφθεῖσαι, τοῦ πρωτουρ-
γοῦ τῆς αἰσχύνης ἐστερημέναι καὶ συνεργοῦ ὡσαύτως
καὶ ποιητοῦ; ἦν γὰρ ἦν ὁ ἀνὴρ ἀπ' ἀρχῆς ἄχρι τέλους
κακὸς ἔκ τε πατρίδος καὶ γονέων τε καὶ ἀνατροφῆς, οἷς
30 καὶ τὰς πράξεις ὁμοίας εἰργάσατο. ἀπ' ἀρχῆς καὶ γὰρ
ἦν ὅλος κακός, μέσος ὅλος κακός, ὑστάτως ὅλως κακὸς
καὶ τὸ ὅλον διὰ ταῦτα κακός· συλλεξάμενος γὰρ πᾶσαν
κακίαν διὰ ταύτης ἰνδαλματώθη τὸ ὄντως Ἐπικούρειον
ἄτομον. τίς γοῦν λάβῃ καθ' Ὅμηρον ἀντ' ἐμοῦ *δέκα*
35 *γλώσσας* καὶ τὴν Ἰδιοφάντους ἰσχύν, ὥστε τῷ μὲν ἀνα-
βοᾶν τὰ τούτου αἰσχρά, τῷ δὲ τὰ ἄτμητα τέμνειν καὶ
πᾶν ὅ τι κακίας ψῆγμα ἀναλαμβάνειν καὶ προσαρμότ-
τειν αὐτῷ; ἀσθενῶ γὰρ καὶ λέγειν ἐγὼ ταῦτα διὰ τὸ
ἄπειρον. διὸ τὸ μὲν τῇ ποικιλίᾳ τῆς αὐτοῦ μιαρότητος,
40 τὸ δὲ καὶ τῷ φόβῳ μή πώ τι ψυχρότητος ἔπος εἴπω
παραιτήσασθαι βούλομαι, τὸ δ' ἄλλο, ὅτι καὶ *νόμος*
ἐστὶν ὀνομαστὶ τοῦ μὴ κωμῳδεῖν. διὰ ταῦτα γοῦν τὸ μὲν

H 35 (et **428**) Ἰδιοφάντους: fort. Diophantum per lusum significat, cf. N. Festa, Byz. Zeit. 18, 1909, 214 sq. et adn. 4

F 34–35 Hom. Il. II 489 || **41–42** Hermog. stat. 11 = 88,12 Rabe et cf. schol. in Ar. av. 1297

L **30** καὶ[2] om. **D** || **31** ὅλος[1]] ὅλως **A**$^{ac\ prob}$ | μέσος ὅλος κακός om. **D** | ὅλως] ὅλος **C** fort. recte || **32** καὶ τὸ ὅλον διὰ ταῦτα κακός om. **D** || **40** τι om. **D**

M **41–42** ση(μείωσαι) ὅτι νόμος ἐστὶν ὀνομαστὶ τοῦ μὴ κωμῳδεῖν **D**

λέξαι εἰσάγει δειλανδρισμόν, τὸ δὲ ἐᾶσαι ὅλως μοί ἐστιν ἀνύποιστον. ἐπεὶ δὲ τῇ τοσαύτῃ κακοηθείᾳ ἁρμόδιός ἐστιν ἡ διακωμῴδησις, ἀναβάλλομαι μὲν τὸν ὄκνον ὑπὸ 45 τῆς τῶν κακῶν αὐτοῦ πληθύος νυττόμενος καὶ λέξαι τρέχω εἰς αἰσχύνην πάσης κακίας τὰ ἔργα αὐτοῦ, τὴν σπουδὴν ἰσχυρὰν ὡς ζώνην περιζωσάμενος. διὸ τὴν μὲν συγγνώμην αἰτουμένῳ ἀκροατὴς παρέξει μοι πᾶς, πειράσεται δὲ διὰ τῆς τοῦ αἰσχρουργοῦ ὑπομνήσεως πᾶς 50 ἄκακος τὰ τῶν βεβήλων ἀνόμοια καὶ γενήσεταί τι καινόν, τὸ ἐκ τῆς κακίας πηγῆς ἀντλεῖν τὴν ἄπειρον ἀρετήν· εἰσὶ γὰρ πολλὰ τὰ κακὰ τοῦ βίου αὐτοῦ, ἅπερ ὁ ἀποφεύγων ἐκφεύγει πυθμένα πυρὸς δίκην αἰσχρότητος, ὄλεθρον παντελῆ, καὶ συλλαβὼν εἴπω εἴ τι δεινόν· ἔχει 55 δὲ τὰ περὶ αὐτοῦ πάντα.

2. Οὕτως τοίνυν πατρὶς ἐκείνου ἀνώνυμος ἦν, ἢ μᾶλλον μὴ οὖσα μηδὲ γινωσκομένη, καὶ τοῦτο προνοίας ὑπῆρχεν ἔργον θεοῦ δεικνυούσης τὸ κακὸν ἀνυπόστατον καὶ τοὺς ἐξ ἐκείνου συμβεβηκότας· ἣν οὐδὲ ὁ ἱστορῶν 60 ἱστορήσει, οὐδὲ γεωγράφος διασαφήσει, οὔτε μὴν γεωδεσία καταμετρήσει ποτὲ ἀτμήτου οὔσης καὶ ὑπὲρ τὰς ἀτόμους ἀϋλοτέρας. τί γοῦν εἴπω; ἦν ἡ τούτου πατρὶς οὔτις. γονεῖς δὲ πάνυ γελοιωδέστατοι, ὥστε καὶ τοῖς ὀνόμασι καὶ τοῖς πράγμασι μέγαν συνιστῶντες τὸν γέ- 65

F **49–53** πειράσεται ~ ἀρετήν: cf. Plat. leg. VII 816 d 9–10 ἄνευ γὰρ γελοίων τὰ σπουδαῖα καὶ πάντων τῶν ἐναντίων τὰ ἐναντία μαθεῖν μὲν οὐ δυνατόν || **62–63** ὑπὲρ τὰς ἀτόμους ἀϋλοτέρας: cf. Diog. Laërt. X 54.56

L **45** διακωμῴδησις] κωμῴδ. **D** || **46** νηττόμενος **BAC** || **50** τοῦ om. **D** || **52** τὴν] τὸν **BAD** || **60** ὁ om. **D** || **63** γοῦν] οὖν **C** | ἦν] ἣν **A** | ἡ om. **D** || **64** οὔτις scripsi: οὐτίς codd.

λωτα. ἡ γὰρ τούτου μήτηρ οὐ μήτηρ, ἀλλὰ κίττα τι νόσημα ἐπισυμβαῖνον γυναίοις καὶ ἐξογκοῦν τὰς γαστέρας καὶ παιδοτοκεῖν ὑποκρίσει ταύτας πιστοῦν. συνήθως δέ τινι γυναίῳ ἐπισυμβὰν ἔπειθεν αὐτῷ λατρεύειν τὰ τῆς
70 ἀπάτης. καιροῦ δ' ἐλθόντος παιδοτοκίας καὶ συναθροισθέντων πασῶν τῶν μαιῶν, εἰς αἰσχύνην τῆς γειναμένης ἀπέβη τὸ κύημα· πνεῦμα γὰρ ἐξῆλθεν ἀντὶ παιδός, ὡς ἔθος κίττᾳ ποιεῖν, ὑποδηλοῦν τὸ τοῦ τόκου παράφορον. ἔνθεν τοι τῇ αἰσχύνῃ ἡ δῆθεν τεκοῦσα αὐ-
75 τὸν καθυποβληθεῖσα ταῖς θεραπαινίσιν ἐκέλευσεν ἆραί τι βρέφος ὅθεν ἂν εἴη καὶ τῷ δίφρῳ προσρίψαι καὶ χαρᾷ κυμβαλίσαι· ὡς ἡ γραῦς ταῖς ἀληθείαις ἐγέννησε – γηραλέα γὰρ ἦν ἡ τοῦτο τεχνασαμένη –. αἱ δὲ τελέσασαι τὴν ἀπάτην καὶ τὸ μορμολύκειον ἄρασαι κατ'
80 αὐτὴν τῆς Κρονικῆς ἀτυχίας ὥραν εὑρεθὲν τῷ πυλῶνι καὶ τὸ ἐξελθὸν ἐκ ταύτης αὐτὸ καθὰ θέμις ἐμψυχώσασαι πνεύματι – ἔδει καὶ γὰρ τοιαύτην ἐκεῖνο ἔχειν ψυχήν –, συνίστων τὸ ἄστατον καὶ ἠρρενοποίουν τὸ ἡμιάνδριον, ἢ μᾶλλον τὸ ἄμβλωμα, χαίρουσαι καὶ λίαν χο-
85 ρεύουσαι, καὶ τὸ μὲν ἐκρύπτετο λόγοις, ἔργοις δὲ τοῖς πᾶσιν ὑπῆρχε δῆλον· καὶ ἡ μὲν οὖν μήτηρ ἐκείνου τοιαύτη καὶ ἐκ τοιούτων. εἰ δὲ καὶ τὸν γενέτην τις ἐθέλει μαθεῖν, νοείτω αὐτὸν εἶναι λαχάνων καὶ ὀσπρίων ἑσμόν· ταῦτα γὰρ τῇ κίττῃ προσφόρως καταβάλλουσι
90 πνεύματα ἐξογκοῦντα διὰ ταύτης τὰ ἐπιγάστρια. γεννηθὲν δὲ καὶ κακίᾳ πάσῃ σπαργανωθὲν τὸ νήπιον ὠνομάσθη κίττης ἐκτελέσματος κύημα.

H **66–68** κίττα–πιστοῦν: alio sensu ap. Soran. gynaec. I 17 = I 47–52 Burg. Aët. Am. XVI 10 = 12–14 Zerv.

L **71** εἰς om. **D** || **73** ποιεῖ **B**[ac] **AC** || **74** τῇ om. **D** || **76** προσρρίψαι **BA** || **82** ἐκεῖνον **D** || **87** γεννέτην **BCD**[pc] γεννετήν **A**

3. Τίς ἄρα τοιούτους οἶδε γονεῖς εὐγενεστάτους καὶ λίαν ὑπάρχοντας, ἴχνεσι παρεικαζομένους ποντοβαινούσης νεὼς καὶ κυμβαλισμάτων ἀπηχήμασι, κονιορτοῦ μονιμότητι καὶ κύματος ὑπάρξει; ἐγὼ δὲ καὶ τοῦτο ἐκπλήττομαι ὅλως, πῶς τὸ μὴ ὂν ὑπεδέξατο ἄλλο τι ὄνομα, ἢ αὐτὸ τὸ μὴ ὄν· τὰ γὰρ ἐν τῷ μηδαμῇ μηδαμῶς ὄντως εἰσὶ μηδαμῇ μηδαμῶς, οἷος καὶ ὁ μεγαλοκλεὴς μέροψ οὗτος ὁ νῦν παρ' ἡμῶν ἰνδαλματουργούμενος. ἐκ γὰρ μὴ ὄντων μὴ ὂν ὑπῆρξεν, ἐκ νοσήματος νόσημα, ἐκ βδελύγματος ῥύπασμα, ἐκ δυσωδίας δυσώδης, ὕβρις ἐξ ὕβρεως, σύμβαμα ἐκ συμβάματος, ἐξ αἰσχύνης αἰσχύνη, ἐκ πνεύματος ἄνεμος, ἐκ κίττης υἱός. ὢ οἷον εἶδε παῖδα ὁ ἥλιος, ὁποῖον ἐθεάσαντο οὐρανοί, ὁποῖον ὑπεδέξατο γῆ, ὁποῖον εἶδον οἱ ἄνθρωποι, τῆς μιμοῦς τὸν υἱόν, τὸν ἄρχοντα τῶν πιθήκων, τῶν κνωδάλων τὸ ἔσχατον. εἶχε γὰρ εἶχεν ὁ μέγας οὗτος καὶ τὴν τοῦ σώματος ἀρίστην εὐαρμοστίαν ποικίλην τε καὶ περιδεξίαν· 'φολκὸς' γὰρ ἦν καὶ 'φοξός', *σκαμβόπους* τε καὶ λειόπελμος, ἀπὸ κορυφῆς ἄχρι ποδῶν ἀνόμοιος, περὶ τὴν γαστέρα εὐρύς – καὶ τοῦτο διὰ τὰς ὕβρεις –, περὶ τὸ στέρνον στενός – καὶ τοῦτο διὰ τὸ τῆς ψυχῆς γενναῖον ἀνάστημα –, ἠσβολωμένος τῷ χρώματι καὶ οὐλόθριξ ταῖς θριξί, σιμός τε καὶ ἑτερόφθαλμος καὶ οὐλόφθαλμος, κυφός τε καὶ ὀρθοτράχηλος, πηχυαῖος τὸ ἅπαν καὶ τὸ ὅλον κακός. τοιοῦτον τοίνυν τὸ συμβεβηκὸς διέπλασεν αὐτὸν καὶ διήρθρωσεν, ὥστε καὶ τοὺς ἰδόντας αὐτὸν ἔχειν γελᾶν καὶ τοὺς τούτου ἀκηκοότας χεῖρας κροτεῖν.

F **109–110** Hom. Il. II 217.219 (de Thersite)

L **99** ὄντως εἰσὶ μηδαμῇ μηδαμῶς om. **A** ‖ **104** ὦ **C** ‖ **114** χρώματι] σώματι **C** ‖ **115** καὶ οὐλόφθαλμος in textu omissa add. **B**mg ‖ **117** τὸ om. **D**

120 *4.* Οὐχ ἧττον δὲ τῆς ἔξωθεν ἀμορφίας αὐτοῦ ὑπῆρχεν ἡ ἔνδοθεν. δυσνοίας γὰρ πλήρης ἦν, ὑφαλότητος ὅσης, κακίας μεστὸς καὶ τῷ φρονήματι παλίμβολος καὶ ἀσύστατος, ψοφοδεὴς καὶ σμικροπρεπής, καπηλικὸς καὶ περίεργος, διττὰς ἔχων τὰς φρένας καὶ τὸν λόγον πολύ-
125 χρωμον· ἄλλα μὲν βάζων, ἄλλα δὲ κεύθων φρεσί, διπλοΐδος πάσης κατοικητήριον, φίλαρχος καὶ σαρδαναπάλιος, φιλάργυρος ἄγαν, ἐγκρατὴς τῶν καλῶν καὶ ἁπλοῦς ταῖς κακίαις, θηλυμανὴς καὶ θηλυπρεπής, γυναικωνιτικὸς ἄγαν καὶ ἄγαν οἰόμενος· ὑβριστὴς ἐκ τῶν
130 ἔργων καὶ ἄσεμνος ἔπεσι, λῆρος τὰ μάλιστα καὶ τῇ μνήμῃ ἔκλυτος, φθόνου ταμιεῖον καὶ ἔριδος ὕψωμα, λαίμαργος καὶ γαστρίμαργος, ἀπροσκορής, ἀναιδής, νόμων ἱερῶν καταλύτης πολλάκις συνοικεσίοις ἐλθών.

5. Εἰ δὲ καὶ τὸ ἔννομον αὐτοῦ ὑπῆρχε πάσης παρανο-
135 μίας μεστόν, ὁποῖον ἄρα τὸ μὴ τοῦ νόμου καὶ ἡλίκον τὸ ἄνομον, ἀλλ' εἶχε μὲν οὖν ἐκεῖνος ταῦτα πάντα σώματι καὶ ψυχῇ, ἅπερ ἡ κωμῳδία τῷ καιρῷ παραδώσει καθάπερ ἔθος σαφέστερον, ἐτρέφετο δὲ γεννηθεὶς ὁ τοιαῦτα ἔχων τὰ προτερήματα καὶ τροφὴν σατανικὴν καὶ δαιμο-
140 νικήν. βασιλεῦσι δοθεὶς δὲ παρὰ τῆς θέσει καὶ ὑπονοίᾳ μητρός, ἵνα τὸ τῆς αἰσχρότητος αὐτοῦ περιαιρεθῇ περικάλυμμα, τῇ τληπαθείᾳ τάχα δὲ καὶ κερδήσῃ τὴν περιφάνειαν – ἐπειδὴ γὰρ δευτέρα τίς ἐστι φύσις ἡ παί-

F **143–144** cf. Arist. pol. VII 1337 a 1–3 Ioh. Stob. anthol. II 31,50 = II 210,5–6 W. – H. (ps.-Demosth. 61,42)

L **123** ψοφοδεεὶς **B**^{ac}, **A** (-εῖς) || **131** ταμεῖον **A**^{ac} || **134** εὔνομον **C** || **136** ταῦτα post πάντα transp. **A** || **141** τὸ om. **D** | τὸ τῆς] τὸ * * * * τῆς **B** || **141 sq.** περικάλυμμα] κάλυμμα **D** || **142** τληπαθίᾳ **C** | κερδήσω **B**^{ac} **A**

M **143** ση(μείωσαι) **D**

δευσις –, ἔμενε πάλιν τὸ σκότος σκότος. ὁ γὰρ *Αἰθίοψ οὐκ ἐλευκαίνετο* καὶ ἐμίσγετο τῇ παιδείᾳ ὡς ὄξος μέλιτι 145
καὶ τῇ τῶν καλῶν ἀγωγῇ ὡς κοπρία τῷ βαλσάμῳ, καὶ μετέβαλεν ὁ κακὸς τὸ φύσει καλὸν ὡς μὴ ὤφελον.

6. Καιροῦ δ' ἐλθόντος καὶ πρὸς οὐτιδανὴν προκοπὴν ἀναδραμόντος αὐτοῦ ἀμυδρῶς, ἠράσθη ὁ κολοιὸς πηλαμίδος γυναικὸς μικρὰν ἐχούσης ἀσεμνότητι ἔπαρσιν, καὶ 150
ἔτρεφον τὴν χαρὰν ἰχθύος ἰχθὺς ἀντερῶν· ἀλλ' ἦλθον τὰ τῆς ἐξετάσεως ἄρκυα καὶ συνέλαβον τὸν κολοιὸν καὶ ἔφερον πρὸς τὴν ἑδραιοτάτην χέρσον τῶν ἀνακτόρων· καὶ ὁ μὲν ἄφωνος ἦν – ἀγχόνη γὰρ συνεσφίγγετο –, καὶ ἔπαλλε τὰ βράγχη ᾖττέ τε τὴν οὐράν – ἦν γὰρ οὐραῖος 155
ὁ σατανᾶς –. ἡ δὲ δίκη τὸ ξίφος ἔστιλβε καὶ ἡ ἀπόφασις ἦλθε καὶ παρέστη ἡ τιμωρία καὶ ὁ δύστηνος ἔτρεμεν. ἐκφυγὼν δὲ τὴν καρατομίαν τινῶν παρακλήσεσι, διερράγη τὴν ῥῖνα συμβολογραφηθεὶς διὰ τῆς ποινῆς τὴν προαίρεσιν· ἔμενε δὲ καὶ οὕτως ἀνίατος γεγονώς. 160

7. Ἐπεὶ δὲ καὶ τὴν βασιλίδα τῶν πόλεων ἐχθροῖς παραδοῦναι θεὸς ἠθέλησεν – οἶμαι δὴ πάντως οὔ τι δι' ἄλλο, ἢ ὅτι τοιοῦτον ἔνδον εἶχε κακόν, οἷον ὁ λόγος ὑποδηλοῖ –, λαθραίως καὶ οὗτος σὺν τοῖς ἄλλοις ἀπέδρα. μυρί' ἄττα πράξας δεινὰ καὶ τῇ ἑῴᾳ προσμείνας 165

H **149** κολοιός idem valet ac piscis κολίας, cf. Strömberg loc. laud. in apparatu F || **161–162** Constantinopolis a Latinis capta 1204. IV. 13

F **144–145** Apost. I 68 = CPG II 258,1 et cf. Septuag. Ierem. 13,23 || **149–150** ἠράσθη ~ πηλαμίδος: cf. Strömberg p. 21, adn. ad Antiphan. n. 1

L **147** τὸ] τῷ **BAC** | καλὸν] κακὸν **A** | ὄφελον **D** || **154** ἄφονος **BA** || **156** δίκη] δί δίκη **BA** || **160** οὗτος **A** || **161** ἐπεὶ δὲ] ἐπειδὴ **A**

τῷ μόρῳ τε μὴ συνεισδραμών – ἐπεὶ γὰρ ὑπῆρχε καὶ
γηραιός –, ἐμὲ παιδαγωγῆσαι ἀνέμενεν οὔπω προελ-
θόντα τεκούσης, ὅπως διαπράξηταί τι κακὸν ἐν ἐμοὶ φι-
λοσοφίαν πρεσβεύειν μέλλοντα γνούς· ὑπῆρχε γὰρ ὡς
170 οἶμαι καὶ γοητικὸς κατὰ καιρούς, διότι καὶ μὴ βουλόμε-
νός τινα ἐξέφαινε κάκιστα, καὶ μᾶλλον ὅτε συνωμίλει
τῷ Διονύσῳ, ὅπερ συχνάκις ἐποίει. προιόντος δὲ τοῦ
καιροῦ κἀμοῦ τε γεννηθέντος, ὡς ἔθος ἐτρεφόμην ἀνά-
κτων παισί· τάχα δὲ πρὸς ἡλικίαν ἐλθόντι καὶ δωδεκαε-
175 τίας δίαυλον τρέχοντι ἐδόθη μοι οὗτος παιδαγωγός. ὢ
πόποι ἡλίκον τὸ ἄτοπον, ὅσον τὸ μὴ θεοῦ, κοιμωμένης
εἴπω τῆς εἱμαρμένης κατὰ τοὺς Ἕλληνας. ὅπως δὲ τῇ
τῶν ἐμῶν κυρίων καὶ τεκόντων ἀγχινοίᾳ τοῦτο διέλαθεν
οὐκ οἶδα, οἷς διεκρίνετο πᾶσα γνῶσις ὡς εἴπῃ τις *Λυδικῇ*
180 *λίθῳ* καὶ *Ῥήνῳ* Κελτῶν ποταμῷ *ἐλέγχῳ τῶν ἀμβλωμάτων*.
οἶμαι δήπουθεν, ὅτι τὸ γῆρας αὐτοὺς ἠπάτησε καὶ τὸ
αὐτοῦ κερδωτικὸν καὶ κρυπτόν – ἐπίβουλον καὶ γὰρ
οὔποτ' ἂν ἐκφεύξηταί τις –· διὸ δὴ τῇ μὲν αὐτῶν οὗτοι

H **174–175** a. 1234 significat, duodecimum Theodori nostri || **178** Iohannes III Ducas Batatzes et Irene Lascaris

F **179–180** Macar. V 75 = CPG II 186,15 et cf. schol. in Theocr. 12,35–37 = 257,2–6 Wend. || **180** Apost. XIII 1[b] = CPG II 569,10 et cf. Iulian. or. 3,25 = I[1] 156,24–29 Bid. ep. (spur.) 191 = I[2] 247,11–18 Bid. Liban. or. 12,48 = II 26,10–12 Först. Greg. Naz. carm. II 2,4,143 = PG XXXVII 1516 a Georg. Pis. exp. Pers. I 41 = 86 Pert. Anth. Pal. IX 125 (anonym.)

L **167** γερεός **BAC** | ἀνέμεινε **C** || **168** post ὅπως spatium vacuum decem litterarum rel. **B**[r] || **170** γοιτικὸς **BAC** || **171** κάκιστα] τάχιστα **C** | συνωμίλλει **A** συνωμιλεῖ **C** || **172** διονύσσῳ **BA**[ac]**C** || **174–175** καὶ δωδεκαετίας δίαυλον τρέχοντι om. **A** | δωδεκαετείας **B** || **182** καὶ[2] **B**[sl]

εἰλικρινείᾳ πάντας εἶχον ὡς ἀγαθούς, ἕκαστος δὲ τὸ
κατάλληλον τῆς οἰκείας ἔπραττε γνώμης. 185

8. Ἀλλὰ τί τὰ πολλὰ λέγω καὶ εἰσιέναι οὐ σπεύδω
ταῖς αὐτοῦ μιαρότησι, κἂν ἐργῶδες τοῦτο καὶ φορτικόν
μοι δοκῇ καὶ ἰλιγγιᾷ μου ὁ νοῦς τῇ μνήμῃ ταύτῃ καὶ μο-
νονουχὶ πείθει με ὡς οἷον τοῦτον ὁρᾶν; γέγονε τοῦτο γέ-
γονε καὶ ἐδόθη μοι τῷ ἁπλῷ ἡ πονηρία παιδαγωγός. 190
εἴτε δὲ θεὸς αὐτὸ πέπραχεν ὁ μεταποιῶν πάντα καὶ με-
ταπλάττων εἰς τὸ καλόν, εἴτε συνέβη τῷ νῷ διαστέλλο-
μαι· πείθομαι δὲ ὅτι θεός, ἵνα μου τὸ ἄγαν ἁπλοϊκὸν
ῥυθμίσῃ πρός τινα σύνθεσιν. ἔστι γάρ ἐστί πως καὶ
τοῦτο καλόν. τότε δὴ τότε καὶ τὸ προφητικὸν ἐπλη- 195
ροῦτο ῥητόν· *λύκος καὶ γὰρ διῆγεν ἄρνα* παιδαγωγῶν ἢ
κρημνοῖς παριστῶν, καὶ ἐπορευόμην διὰ ταῦτα ἐν μέσῳ
σκύμνων τεταραγμένος, διὸ τῆς ἠπείρου ἀποστὰς τῆς
ἐλευθεριότητος ἐπάνω σκοτεινῶν ὑδάτων περιεπάτουν,
ἀντὶ γαλήνης ἔχων τὴν τρικυμίαν καὶ δούπους ἀνθ' ἡσυ- 200
χίας. ὁ γὰρ δύστηνος ἐκεῖνος καταλείψας πᾶσαν οἰκείαν
πρᾶξιν ἓν ὥρα, παγιδεύειν ἐμέ. καίτοι γε χρέος ἀφοσιω-
μένον ἔχων φύλαξ εἶναί μου ἀσφαλής, κεκαμυκὼς δὲ
τοὺς ὀφθαλμοὺς εἰσέδυ ποικίλα ἐνδύματα ἐνδυόμενος
τὸ σκιερὸν τοῦ ψεύδους ὁ βέβηλος. οὔποτ' εἶπε καὶ γὰρ 205
ἀνανεῦσαι πρὸς τὴν ἀλήθειαν καὶ συνειδέναι τῶν τού-
του πανουργιῶν τὸ τέλος, εἰ τέως φέρει διάφορον· οἶδε

F **196** Septuag. Is. 11,6; 65,25 || **205–206.209** οὔποτ' ... ἀνανεῦ-
σαι πρὸς τὴν ἀλήθειαν ... Πρωτεὺς: cf. Lucian. Peregr. 42 =
III 203,25–26 Macl.

L **185** τῇ οἰκείᾳ ... γνώμῃ **B**pc **C D**pc || **186** σπένδω ***x*** || **187** καὶ ante
ταῖς add. **D** | αὐτοῦ **B**sl || **191** τὰ ante πάντα add. **D** || **191 sq.** με-
ταπλάττων] μεταποιῶν **D** || **196** καὶ om. **D** || **202** ἑώρα **D**

M **207–208** γνω(μικόν) **BAD**

γὰρ τυφλώττειν ὁ πονηρὸς τὴν συνείδησιν. διὸ συν-
αθροίσας ὁ Πρωτεὺς οὗτος πάντα τὰ ἐξ ἁμάξης κακὰ
210 *φορτίον* αὐτὰ προσέθετό μοι *δυσβάστακτον*, ἔγκλημά μοι
τὴν φιλοσοφίαν κατηγορῶν.

9. 'Ἄκουε οὐρανὲ καὶ ἐνωτίζου' ἡ 'γῆ'. τοιγαροῦν πᾶ-
σαν συλλαβὼν οὗτος διὰ τοῦτο διαβολὴν προσέρριπτέ
μοι τῷ τότε τληπαθεῖ, καὶ προσέθετο ὕβρεσιν ὕβρεις
215 καὶ ὑπονοίας ἀνθ' ὑπονοιῶν καὶ ὑπολήψεις ἀνθ' ὑπολή-
ψεων ὁ μηδὲ τεῦχος ῥητορικῆς πώποτε κατιδών. ὃν ἐγὼ
τῇ θελήσει δυοκαίδεκα περιστατικοῖς εἰ δυνατὸν εἶναι
ταῦτα ἤθελον κωμῳδεῖν, ἵνα πως εἰς ἐπίτασιν κἂν ἐκ
τῆς κωμῳδίας πέσῃ καὶ μὴ τῷ σώματι ὁμοιωθῇ καὶ ταῖς
220 ὕβρεσιν. ἀνερευνῶν καὶ γὰρ ὅπη χρή με δράξασθαι
ἀφορμῆς, εἴτε πράξεων εἴτε λόγου εἴτε ἑτέρας τινὸς
ἐκείνου λαβῆς, ὡς μὴ ἀτελῆ καὶ ἄτεχνον συγγράψωμαι
τὸν ψόγον αὐτοῦ παραλείψας τὰς πράξεις, ἀλλὰ τῇ
προσθέσει αὐτὰς πολλαπλασιάσω καὶ εἰδοποιήσω τὸ
225 τῆς αἰσχύνης αὐτοῦ εἴδωλον ἐντελές, οὐκ ἔχω. ἐπὰν γὰρ
τοῖς πρόσθεν ἀνανεύσω τὸν νοῦν, κινοῦμαι πάλιν λέγειν
τὰ τῆς ἀρχῆς. εἰσδὺς δὲ αὐτῇ γέννησιν ὁρῶ ἀνυπόστα-
τον, γονεῖς ὄζοντας καὶ μὴ γονεῖς, ἐκ τῶν τοῦ Εἴρωνος
ὄντας πνευματικῶν· πατρίδα μὴ οὖσάν τε καὶ ἀνώνυ-
230 μον· ἀνατροφὴν τῇ ἐκείνου χειρίστῃ προθέσει ἐξ ἀγα-
θῶν ἀλλοιωθεῖσαν εἰς χείριστα· πράξεις τὰς ἐν νεότητι

H **217** δυοκαίδεκα περιστατικοῖς: ita dicit exaggerationis causa, sex enim sunt genera περιστάσεων ap. Hermog. inv. III 5 = 140,16–19 Rabe || **228** Εἴρωνος: simulationem in personam vertit

F **210** ev. Matth. 23,4 ev. Luc. 11,46 || **212** Septuag. Is. 1,2

L **208** καὶ post διὸ add. **D** || **224** πολυπλασιάσω **C** || **225** γὰρ] δὲ **A**

κρίσεις καὶ τιμωρίας, ἃς αἱ φωναὶ Στέντορος παριστῶσι διατορώτερον κράζουσαι· τὴν ἐκ τῆς Κωνσταντίνου ἀπόστασιν, καὶ ταύτην μεθ' ὅσων δόλων, μεθ' ὅσων παραβάσεων ὅρκων, μεθ' οἵας πρὸς τοὺς τότε τάχα κρα- 235 τοῦντας μιαρότητος καὶ σκαιότητος· καὶ τὸ τέλος, ὅτι καὶ τὸν ἐκείνου κύριον δηλητηρίῳ κατεῖδε κτανθέντα καὶ πρότερον συλληφθέντα ἐπιβουλῇ τινων, ἴσως καὶ τῇ τούτου βουλῇ, καθὼς πολλάκις ταῦτα καὶ ἄκων ἐφθέγγετο ἀφηγούμενος τὰ πρόσθεν ὡς γηραιός – ὑπῆρχε 240 γὰρ καὶ τὰ μάλιστα ἀθυρόστομος –. τὰς ἐν τῇ ἑῴᾳ δὲ μετὰ τὴν ἅλωσιν ἐκείνου διατριβὰς καὶ τίς ἂν ἐρευνήσῃ καὶ τὰς τούτων μιαρότητας καὶ σκαιότητας; ὄντως οὐδείς· ἀπ' ἀρχῆς καὶ γὰρ ἦν ἄχρι τέλους κακός. διὸ δὴ σύμβουλον τὸν οἰκεῖον λογισμὸν διὰ ταῦτα ἐγὼ συμ- 245 παραλαβὼν ἐᾶσαι τὰ πρῶτα βούλομαι, ἵνα μὴ δόξω πλάττειν αὐτά, ἄλλως τε ὅτι καὶ *ὅρασις ἀκοῆς πιστοτέρα* καὶ διὰ τοῦτο ἐκείνης ἐκφεύγω τὸ ἔγκλημα, τῆς δ' ἄλλης ἀσπάζομαι τὸ αὐτόπιστον, καὶ τὰ ἃ ἐξ ἄλλων ἔγνων διὰ τοῦτο σιγῶ καίτοι γε ὄντα μνήμης πολλῆς 250 ἄξια· λέξω δὲ πρὸς θεοῦ ἅπερ ἑώρακα καὶ ταῦτά πως ἀλλοιῶν εἰς τὸ εὔσχημον. εἴπω δὲ πᾶσαν ἐκείνου βέβηλον πρᾶξιν φιλαλήθως καὶ ὡς ἐγένετο, καὶ παραστήσω μὲν τοῖς ἀκάκοις τὰ τῶν κακῶν καὶ τοῖς ἁπλουστέροις

H 237 τὸν ἐκείνου κύριον: fort. de Isaacio II Angelo vel de Alexio IV Angelo agitur || **242** μετὰ τὴν ἅλωσιν: vid. ad **161–162**

F **232** cf. Hom. Il. V 785–786 et vid. Karathanasis p. 30, n. 28 Strömberg p. 58, n. 13 || **247** Apost. XVIII 71 = CPG II 744,2 et cf. Herodot. I 8,2

L **232** φωναὶ scripsi: ποιναὶ codd. || **236** καὶ σκαιότητος om. **A** || **242** ἐρευνήσει **B**[ac] || **248** ἐκφεύγων **D** || **251** θεὸν **C** || **253–254** παραστήσω μὲν] παραστήσωμεν **D** παραστήσω δὲ **A**

255 τὰ τῶν κρυπτῶν καὶ πᾶσι τὸ ἐκείνου κακότροπον. οἶδ' ὅτι δὲ διὰ ταῦτα κερδήσω πρὸς τοὺς μετέπειτα μνήμης εἰκόνα καὶ ὀνόματος διατράνωσιν, ἅτινα πᾶς ἐμπορεύεται ὁ φύσει ἐκζητῶν τὸ καλόν. οἱ γὰρ σοφοὶ τῶν ἀνθρώπων καὶ τοῖς ἀστεΐσμασι πλέκουσι τὰ νοήματα φιλοσο-
260 φίας μέντοι γε ὄντα μεστά, πρὸς σοφοὺς δὲ καὶ γινωσκόμενα καὶ λεγόμενα, καὶ πᾶς ὅτι σοφὸς ἔστιν ὅτε καὶ ἀστεΐζεται. ἔχει γὰρ ἡ φύσις φύσει ὀκλᾶν, ὅθεν ἀνανεύσει γοῦν καὶ λάβῃ ἰσχύν. ἐξ ἡδονῶν τῶν πρὸ γαστρὸς καὶ μετὰ γαστέρα, ἐκ ψυχικῶν συμπτωμάτων φερόντων
265 ἀνθ' ἡδονῆς αἰσχύνην καὶ ὄλισθον οὔποτ' ἂν εἴπῃ τις τοῦτ' αὐτό, εἰ μὴ λύμῃ τινὶ τὰς φρένας νοσεῖ, ἀλλὰ μενεῖ ἐν ἀκηδίᾳ τῇ ὅτι πολλῇ καὶ τοῦτο ἀδύνατον καὶ ψυχοβλαβές· πέφυκε γὰρ ἐκ ταύτης γεννᾶσθαί τινα ἄτοπα. διόπερ ἡ φύσις ὁδὸν εὑροῦσα καλλίστην τὴν
270 ἐπιστήμην, διὰ ταύτης ἔτεκε τρόπον· ὁ δὲ τρόπος διαιρούμενος πολλαχῶς εἰσῆξεν ἰδέας· ταῖς ἰδέαις δὲ καὶ τὸ ἀστεΐζεσθαι πέφυκεν ὥσπερ τι μέρος αὐτῶν παθημάτων ἐκ ψυχικῶν· λύπη γὰρ καὶ φόβος καὶ χαρὰ καὶ τὰ τοιαῦτα ψυχῆς παθήματα. πότερον οὖν ἡ φύσις δι' ἐπι-
275 στήμης παρῆξε χαρὰν εἰς ἀναψυχὴν τῶν περιπατούντων φιλοσόφως ἐν ἀρεταῖς. διὰ τοῦτο καὶ ἡμεῖς ἔκ τινων σοφῶν χάριν ἕξομεν τουτοῒ τοῖς μετέπειτα φιλοτιμούμενοι λόγιον, καὶ οἷον τὴν ἐκείνων χαρὰν ἀντιμισθίαν ἔχειν νομίσομεν· πέφυκε γὰρ τὴν χαρὰν τῶν σοφῶν πᾶς ἔχειν

F **258–259** cf. Arist. eth. Nicom. IV 1127 b 33–34; 1128 b 3–4 || **263–268** cf. Arist. eth. Nicom. VII 1150 a 19–22 || **273–274** cf. Arist. eth. Nicom. II 1105 b 21–23

L **255** καὶ πᾶσι] καὶ **** πᾶσι **B** || **266 sq.** μένει **C** || **270** ταῦτα **C** || **273** καὶ ante γὰρ add. **D** || **276** φιλοσοφίως **A**

οἰκείαν σοφός, ὥσπερ δ' αὖ οἱ δοῦλοι τῆς ἀλογίας κα- 280
τακερματίζειν δι' ἐφέσεως ἔχουσι τοὺς σοφοὺς συν-
ιστῶντες τὴν ἀλογίαν, Ἑρμαϊκὰ οἰόμενοι τέκνα φθείρειν
καὶ ἀνυψοῦν τὰ τῆς ἐκείνων ἀντιστάσεως σπέρματα.
ἐγὼ δὲ τοῖς πρώτοις ἐπακολουθήσας καὶ τοῖς πυλῶσιν
αὐτῶν παραμείνας πολλῷ καιρῷ ἕπομαι καὶ αὖθις αὐ- 285
τοῖς, καὶ συγχαίρομαι τῇ τούτων χαρᾷ καὶ τῇ λύπῃ συν-
δέομαι καὶ τούτων διόλου γίνομαι, ὥστε εἰ φορητὸν τῇ
τῶν ῥητόρων ἐπιστήμῃ ἀποστῆναι τῆς κωμῳδίας καὶ ἐγ-
κωμιάζειν με τοὺς σοφούς, ἔπραξα ἂν αὐτὸ χαρᾷ ἐν
πολλῇ· ἵνα δὲ μή τις φιλοσκώμμων κατ' ἐμοῦ κωμῳδίας 290
λάβῃ διὰ τοῦτο λαβὴν ἐάσω αὐτό, ἀναρροήσω δὲ τὸν
λόγον εἰς τὴν ἀρχὴν καὶ λαλήσω οἷσπερ ἠρξάμην λα-
λεῖν, ὅπως ὑπό τι πέρας δόντες τὸν σκοπὸν εἴς τινα
ὑψηλότερα βαδιώμεθα ὡς ἔθος ἡμῖν, εἰς ἐπιστήμης ἐπί-
τασιν καὶ χαρὰν τῶν σοφῶν, ὅπερ δὴ καὶ ποιήσομεν. 295

10. Ὑπήρχομεν οὖν ἐκεῖνος κἀγὼ ὁ μὲν παιδεύων, ὁ
δὲ παιδείαν ὑποδεχόμενος· καὶ ὁ μὲν ἤρα φιλοσοφίας, ὁ
δὲ ἠσπάζετο ἀλογίαν· καὶ ὁ μὲν ἠβούλετο ἀρεταίνειν, ὁ
δ' ἄλλος ἀκολασταίνειν· καὶ ὁ μὲν ηὔχει τὸ μεγαλοπρε-
πές, ὁ δὲ ὑπῆρχε καπηλικός. ἐπεὶ δὲ ταῦτα ἀνόμοια, 300
ἀνομοίως καὶ ὁ παιδεύων ἐπαίδευε, μὴ δρῶν δὲ οἷς
ἔχαιρεν εἰς ἐμέ, ἀλλ' οἷον ὡς ἔν τινι στεγανότητι προσ-
βάλλων τὰς αὐτοῦ θανατηφόρους βολάς, καὶ κατ-
εθραυσμένας ταύτας ὁρῶν ἐμαίνετο καθ' ὑπερβολήν,
ἐνδομυχῶν δ' ἀεὶ ὁ μοιχὸς καὶ συνάγων τὸν ἰὸν ἐπὶ κε- 305
φαλῆς καὶ οἷον κατηγορῶν μοι τὰ ἄτοπα. τί γοῦν εἴπω ἢ

L **289** με om. **D** | ἂν om. **D** || **293** εἴς] εἴ **D** || **303** βολάς] προσ-
βολὰς **D**

M **296** διήγησις **A**

τί λαλήσω; πᾶσαν βέβηλον πρᾶξιν, ὅσην τε κατ' ἀρετὴν ἀπευκταίαν, ὅσην τε πίστει οὐχ ἁρμόδιον, ὅσην ὑπολήψει μὴ συγγενῆ, ὅσην φρονήσεως διϊσταμένην, ὅσην
310 ἀρετῶν γενικῶν διῃρημένων ἐξεωμένην πράττειν δῆθέν μοι ἔλεγε, καὶ τὸ διάφορον οὐκ οἶδα εἰς τί. τί γὰρ χεῖρον, ἢ τὸ τοὺς ἐμοὺς γονεῖς καὶ κυρίους ὑποψιθυρίζειν, κατ' ἐμοῦ δὲ καὶ λόγους πλέκειν καὶ ἀναφέρειν τούτοις αὐτούς; ὁ μηδὲ τῆς κυριακῆς ποτε ἀκούσας φωνῆς τῆς
315 λεγούσης· *μὴ ἐπιδώσει τῷ υἱῷ ὁ πατὴρ ὄφιν ἀντὶ ἰχθύος ἢ ἀντὶ ᾠοῦ σκορπίον*, ἀλλ' αὐτὸς ὀφιοδήκτως νοσῶν τὴν ψυχὴν καὶ κινούμενος τῷ σατανικῷ ἰῷ καὶ τῷ κέντρῳ ⟨τῆς⟩ τῆς αὐτοῦ πονηρίας ἐχίδνης νυττόμενος οὐχ ἑώρα αὐτά – ἦν γὰρ χαιρέκακος ὡς καὶ φίλαρχος –. διὸ δὴ
320 πολλάκις με καὶ εἰς πῦρ ἔβαλε καὶ εἰς ὕδωρ ἔρριψεν, ὡς τὸν παῖδα τὸν πρὶν ὑπὸ τοῦ σατανᾶ ταῦτα πάσχοντα, ὃν ἰάσατο ὁ Χριστός· οὐκ ἔλαττον δὲ καὶ ἐν ἐμοὶ ἐκείνου ὁ κύριός μου εἰργάσατο, ἀλλὰ *τούτῳ* 'ἐμβριμησάμενος', ὅτε τῇ αὐτοῦ προνοίᾳ ἦν ἀρεστόν, καὶ τὸ 'φιμώ-
325 θητι καὶ ἔξελθε' εἰπὼν 'ἀπ' αὐτοῦ', *ἐξῆλθε* πολλὰ *σπαράξας* με ὁ σατᾶν. εἴπω δὲ καὶ ταῦτα τῷ ῥυθμῷ ἐπακολουθῶν· νῦν δὲ λαλήσω τὰ δέοντα καὶ τὸ τῆς ἡμετέρας βιώσεως κεφάλαιον ἀπαρτήσας ἐνδελεχῶς τρέψομαι πρὸς αὐτά.

F **315–316** ev. Matth. 7,10 ev. Luc. 11,11–12 ‖ **323–324** ev. Marc. 1,43 ‖ **324–325** ev. Marc. 1,25 ev. Luc. 4,35 ‖ **325–326** ev. Marc. 1,26

L **309** φρονήσει **B**[ac] ‖ **310** ἐξεωμένην] an -εωσμένην scribend.? ‖ **318** τῆς inserui ‖ **320** ἔριψεν **BA** ‖ **325** αὐτῶν **A**[ac] ‖ **326** με **D**[sl] | σατανᾶς **D** ‖ **328** ἀπαρτίσας *x*

M **328** ἐντε(λεχῶς) **C**

11. Καιροῦ γοῦν πολλοῦ ταῦτά μοι περισύροντος 330
διελθόντος αὐτοῦ, καὶ πρὸς κρίσεις παρασύροντός με
μυριαχῶς καὶ ὅθεν ἂν εἴπῃ τις καταδαπανῶντός με, καὶ
τοὺς δούλους μου παροτρύνοντος εἰς ἐμὰς διαβολὰς καὶ
τοὺς ἔξωθεν ἐπαπειλητικοῖς λόγοις θροοῦντος – ἑώρα
γὰρ τὴν πρός με σχέσιν αὐτῶν καὶ τοὺς περὶ ἐμὲ πάν- 335
τας –, ὥσπερ τινὸς γαγγραίνης ἰοῦ διανεμομένου αὐτοῦ
τῷ θυμῷ, οὐκ εἶχον ἐγὼ ὅπῃ τι καὶ δράσω – εἶχε γὰρ
ἀντιλήψεις πολλάς –. ἐπεὶ δὲ καὶ τὸ πῦρ ἔστιν ὅτε
ἀνάπτει κἂν 'ὑπὸ τὸν μόδιόν' τις ἐμβαλῇ αὐτό, καὶ πᾶς
τις ἀτμὸς εἰς τὸν ἀέρα ἀνέρχεται κἂν πνεῦμα ἀντι- 340
πράττῃ αὐτῷ, καὶ πᾶσι ζῴοις τὸ πνεῖν ἀνυστέρητον,
ἀνήχθην κἀγὼ τῷ χρόνῳ θεοῦ προνοίᾳ καὶ νοῦν ἔσχηκα
ὡς εἰκός. γνοὺς δὲ ὅτι τῶν ἐν βίῳ πάντων ἡ φιλοσοφία
ὑπέρκειται καὶ ὅτι διὰ σοφίας πᾶν ἐγένετο ἐκ θεοῦ,
ἀκούσας δὲ καὶ ὄνομα θεοῦ τὴν σοφίαν εἶναι, καὶ Σολο- 345
μῶντος ἐν παρρησίᾳ βοῶντος ὅτι 'καὶ ὁ πάντων δε-
σπότης ἠγάπησεν αὐτήν', κατάκρως διὰ ταῦτα πάντα
ἠράσθην αὐτῆς καὶ ἐξεβακχεύθην εἰς τόσον τὸν νοῦν,
ὥστε καὶ σωματικῶς δοκεῖν με ὡς οἷον ὁρᾶν ταύτην.
ἐνησχολούμην γοῦν διὰ ταῦτα τοῖς γράμμασιν καὶ ὁ 350
κύων ἐμαίνετο, καὶ ἡ χάρις Χριστοῦ ἐπηύξανε καὶ οὗτος
ἀγανακτῶν διεπρίετο, καὶ ἐκαρποφόρει τὸ ἀγαθὸν ἐν
ἐμοὶ καὶ αὐτὸς ἐξῆρε τὴν ἅμιλλαν, καὶ ὅσον δὴ ἐξεμαί-
νετο τοσοῦτον ἐγὼ προέβαινον τοῖς μαθήμασι, καὶ ὅσον
ἔσπευδεν αὐτὰ διασπᾶν τοσοῦτον μᾶλλον ἐπλέκοντο, 355
καὶ ὅσον τῇ αὐτοῦ ἀλογίᾳ με κατεκάλυπτε τοσοῦτον

F **339** ev. Matth. 5,15 ev. Marc. 4,21 ev. Luc. 11,33 || **344** cf. Septuag. Sirac. 1,9 || **346–347** Septuag. sap. 8,3

L **342** πρόνοια **A** || **343** τῷ ante βίῳ add. **A** || **352** διεπρύετο **BAC**

ἐφαινόμην τοῖς θεωρήμασι. συλλογιστικὴν δὲ τάχα μεταχειριζόμενος – ἵνα μὴ δόξω δὲ ὅτι καὶ τὰ πρὸ ταύτης πάντα κομπάζειν σιγῶ –, ἠβουλόμην ὡς ἔδει συνάγειν
360 καὶ συμπεραίνειν· ὁ δὲ εὐπέρατος ὡς στιγμὴ καὶ εὐρὺς ὡς γραμμὴ καὶ βαθὺς καθὰ ἐπιφάνεια, ἀντέπιπτεν ὡς μὴ ὤφελον δεσποίνῃ τέ τινι τῇ ἀλογίᾳ λατρεύειν με ἔπειθεν, ἣν αὐτὸς ὑπὲρ κεφαλῆς εἶχεν ὡς κορωνίδα· διὸ διαλεγόμενός μοι ὑπέσχαζεν – ἦν γὰρ καὶ λίαν φιλόνει-
365 κος καὶ ὑποσχάζων ἐμαίνετο –. πόθεν δὲ λαβεῖν τὴν συμμαχίαν ἀπογινώσκων ἐσχετλίαζε καὶ κατὰ τοὺς πάλαι ἔπασχε δαιμονίους· κριὸν γάρ τις εἴπερ εἶδε τοῦτον εἶπεν ἐν ποιμνίῳ κερατίζοντα καὶ ταῦρον ἐν βουκολίῳ λακτίζοντα – συχνάκις γὰρ ἔπασχε ταῦτα οἷα κα-
370 κότροπος –. ἀνεκαυχᾶτο δὲ καὶ τοῖς ἱππικοῖς Νέστορα νέον ὑπολαμβάνων αὐτόν, καὶ τότε μηδὲ Σκυθικῆς ἐφεστρίδος ποσῷ τὸν ὃν ἐπέβαινεν ἵππον καταβαρύνων. ἀλλὰ τί χρή με τὰ ἐκείνου βοᾶν καὶ οὐ τάχιον ἀποδίδωμι τὸν λόγον, ἵνα μὴ καὶ αὐτὸν τὸν ἀέρα καταμολύνω
375 τοῖς αὐτοῦ ἀτοπήμασι; ποιήσω δ' οὖν ὅμως.

12. Ἐμαίνετο μὲν οὖν ἐκεῖνος ὁρῶν με φιλοσοφοῦντα καὶ ἐξῆπτε τὴν φαρμακείαν· οἶμαι γὰρ πάλαι καὶ μαγγανείας ἐγίνωσκεν τῷ τῶν Βουλγαρικῶν ὁρίων πρὸ καιροῦ παρατρίψας βουνῷ, Αἵμῳ τοὔνομα, ᾧ διαφράττον-
380 ται ἐκείνων τὰ Θρᾳκικά, καὶ ἐπῳδαῖς ἐκεῖθεν καταμιανθεὶς ἦν ὅλως δαιμονικός, ὥστε καὶ τὴν πολιὰν βαθέως

F **370** cf. Hom. Il. II 336.433.601 al. Od. III 102.210.253 al. ἱππότα Νέστωρ

L **362** ὄφελον *x* | δεσποίνῃ ... τινι τῇ ἀλογίᾳ **B**ᶜ || **364** ἣν **A** || **368** κερατίζοντα scripsi: κρητίζοντα codd. || **371** αὐτόν **AC** || **373 sq.** ἀποδίδωμι] ἀποδίδω μοι **B**ᵃᶜ || **376** με om. **D** || **377 sq.** μαγγανείας scripsi: μαγκανείας codd. || **378–379** προκαιροῦ **C** || **381** ὅλος *x* | τε post βαθέως add. **C**

κατέβαπτεν. κόπρον γὰρ διαφόρων ζῴων κατακιρνῶν καὶ ἀλείφων αὐτὴν ἐτεχνάζετο τῇ βαφῇ τὴν νεότητα· ὅντινα εἶπέ τις εἴπερ εἶδε Μενδησίων θεὸν ἔκ τε τοῦ πώγωνος καὶ τοῦ χρώματος τῶν τριχῶν. τοῦ γὰρ κα- 385 πνοῦ τὸ μέλαν σμιγόμενον τῷ τῆς γενειάδος λευκῷ συνεκιρνᾶτο χρώματι χρῶμα καὶ ἐποίουν τὴν γενειάδα αὐτοῦ κυανόβαφον, ἣν ἐπιστήμην καὶ ὁ Ἀριστοτέλους ἐν τῇ *Περὶ τῶν χρωμάτων* βίβλῳ κατέλειψε νοῦς. θεὸν δ' ἂν Μενδησίων εἶπέ τις τοῦτον διὰ τὸ μυριστικὸν τοῦ ξε- 390 νοσκευάστου θυμιάματος καὶ τοῦ μήκους τῆς πολιᾶς – εἶχε γὰρ καὶ ἀμφοτέρων πιστὰ τὰ χαρακτηρίσματα –. διὰ ταῦτα πιστοῦσθαι καὶ τὸν οἰκεῖον ἤθελε λόγον καὶ συλλογίζεσθαι πρός με τὰ ἀσυλλόγιστα. καὶ γὰρ οὐ περὶ χρημάτων, οὐ περὶ κτημάτων, οὐ περὶ καλλονῆς 395 μαργάρων καὶ λίθων συνελογίζετο καὶ συνῆγε τὰ συμπεράσματα, ὥστε καὶ τὴν νίκην μικρὰν ἔχειν τὴν αὔξησιν καὶ τὴν ἧτταν τὴν ὑποβίβασιν, καὶ διὰ τοῦτο ταπεινοῦσθαι ἐκείνῳ ἔδει κἀμὲ οἷα ὄντι παιδαγωγῷ, ἀλλὰ τῇ τοῦ πώγωνος θεωρίᾳ καὶ τῷ πιθηκείῳ· βαδίσματι ἀπα- 400 τᾶν με ἠβούλετο καὶ ἀποστῆσαι τῆς φιλοσοφίας ἐφιλονείκει, τοῦ θείου δώρου, χρήματος τοῦ καλλίστου, τοῦ φίλου ὄντως θεῷ. ἐγὼ δὲ πανοῦργον τοῦτον γινώσκων καὶ λῆρον παρεθεώρουν αὐτὸν καὶ ἐδεσμούμην ὡς εἰκὸς

H **384** (et **389–390**) Μενδησίων θεὸν: Pan, cf. Herodot. II 46

F **388–389** cf. Arist. de color. 792 b 27–30

L **384** μενδεσίων **B**ac ‖ **386** μισγόμενον **B**ac ‖ **389** θεῶν **C** ‖ **390** μενδεσίων **B**ac**A** ‖ **392** γὰρ post καὶ transp. **D**

M **385–387** ὡραῖον **BD**

405 τῇ φιλοσοφίᾳ, κατὰ τὸν νηΐτην νόμον ἀναγόμενος *ἐκ τῆς κώπης ἐπὶ τοὺς οἴακας*.

13. Ἐπεὶ δὲ προέβην ἐκ συλλογιστικῆς εἰς μαθηματικὴν κἀκ ταύτης πρὸς τὴν ὑπερκειμένην τά τε τῶν φυσικῶν πρὶν ἔγνων καλῶς καὶ εἴ τι ἄλλο συγγραφικὸν καὶ
410 ῥητορικόν, τῷ τοί γε καὶ ποιητικὴν διελθών, ἀνήχθην πρὸς τὰ ὑπερφυῆ κἂν ἐκεῖνος ἐμαίνετο. τί δὲ ταῦτά εἰσι; καὶ τί τῷ ἀφελεστάτῳ ἐξομοιοῦμαι καὶ τί τῷ μὴ ἀγαθῷ συμπεριφέρομαι ἀκρατῶς; ἐκείνῳ γὰρ εἰκότως ὑπῆρχε καὶ τὸ κομπάζειν κατάλληλον, ἐμὲ δὲ καὶ *τὸ τα-*
415 *πεινὸν ἀνυψοῖ* καὶ τὸ ἀληθὲς οὐκ ἀποστερεῖ με τῆς ἐπιστήμης. διὸ πῇ τρέψομαι καὶ πόθεν ἄξω τοῦ λόγου τὸν ἄξονα πρὸς τὴν κωμῳδίαν, ἵνα στηλιτεύσω τὸν παιδαγωγὸν εἰς ἀντίχαριν ἐάσας αὐτά; οὔποτ᾽ ἂν ἑτέρας ἐξ ἀφορμῆς καὶ δι᾽ ἑτέρας ὁδοῦ, ἢ τῆς τῆς φιλοσοφίας
420 ὕβρεως καὶ τῆς ἐκείνου πονηρίας καί γε κακοβουλίας. τί γὰρ χεῖρον πράττειν ἠδύνατο καὶ οὐκ ἂν ἐτέλεσεν ἐν ἐμοί, ἐπεὶ τοῦ φιλοσοφεῖν με παρενεπόδιζε; τίνα γὰρ ἄνδρα Ὁμηρικὴν κεκτημένον μοῦσαν Σωκράτους τε ὡσαύτως, Πλάτωνος καὶ Ἀριστοτέλους θεολογικὴν μα-
425 θηματικήν τε καὶ δαιμονίαν ὀργανικήν, πρὸς τούτοις φυσιολογικὴν καὶ τεχνολογικήν, πιστούμενον δὲ καὶ τὴν τοῦ Πυθαγόρου εἰδέναι φιλοσοφίαν καὶ τὴν Εὐκλείδου καὶ Θέωνος στοιχειωδίαν, πρὸς τούτοις Ἰδιοφάντους λεπτολογίαν, Κλαυδίου ἁρμονικήν, Πτολεμαίου ἀστρο-
430 νομικὴν καὶ τὰς τῶν φαινομένων ἀστέρων κινήσεις, μάλα γε οὗτος ἐβάσκαινε, καὶ τὸ πλεῖον διότι παιδεύ-

H **422–423** τίνα γὰρ ἄνδρα: Georgius Acropolita, ut opinor, cf. **5,207–248** || **428** Θέωνος: Theon Alexandrinus | Ἰδιοφάντους: vid. ad **35**

F **405–406** Diog. I 98 = CPG I 195,21 || **414–415** ev. Matth. 23,12 ev. Luc. 14,11; 18,14

L **408** *κἀκ*] καὶ ἐκ **D** || **419** τῆς τῆς] τῆς **D** || **431** διότι om. **D**

οντά με έώρα τοῦτον αὐτά. καὶ τὸ μὲν ἀποσπᾶν ἐμὲ τῆς φιλοσοφίας ἠρέσκετο, ἐρωτιᾶν δὲ οὗτος καὶ γαύρῳ ὁρμῇ ὁρμᾶν πρὸς γυναῖκας ἐπέτεινε καὶ ἐβάκλιζε μὲν ἀσχέτως, οὐ γεγραμμένον Ἑρμῆν μιμούμενος ἀλληγορι- 435 κῶς, ἀλλ' οἷον κατὰ τὸ φαινόμενόν τε καὶ παχηλόν, τὸ δ' ἄλλο τε καὶ ἀνόμοιον, ὅτι καὶ τοῖς μισθωτοῖς συζευγνύων τὰς ἑταιρίδας αὐτοῦ, καιρῷ διεχώριζε καὶ συνεκοιτάζετο ταύταις τὰ τῆς αἰσχύνης ἔργα ποιῶν. ποῦ τοίνυν οἱ κεραυνοί, ποῦ τυφῶνες, ποῦ δὲ ψολόεντες τὸν ἐντετα- 440 μένον κατακαῦσαι, ποῦ δὲ ὄμβροι καὶ χάλαζαι; ἠμέλουν μὲν τότε οἱ παχεῖς ὄντες καὶ αἰσθητοί, ἀλλὰ νῦν τὴν ψυχὴν αὐτοῦ ἐκστροβοῦσιν οἱ νοητοί, κἂν καὶ τὸ σῶμα Κέρβερος ὁ κύων ἀνήλωσε καὶ μένει νήστης ἀκμήν· πῶς γὰρ τοιούτῳ κυνὶ οὗτος ὁ μῦς ἤρκεσεν εἰς βοράν; 445

14. Ὁρῶν με γοῦν οὗτος ὁ μιαρὸς πρὸς φιλοσοφίαν προκόπτοντα – εἴπω δὲ ὅτι καὶ στρατιωτικοῖς νόμοις ἀρίστως ἐνδιατρίβοντα, καὶ μή μου περισύρῃ τὸν λόγον τοῦτον ἀκροατής – ἔμενεν ἀχανής· ἅτε πανοῦργος ὑπάρχων δὲ κατὰ τοῦ διδασκάλου μου ἐσκαιώρει, ὥστε 450 καὶ τωθασμοὺς καὶ ὕβρεις καὶ ἄλλα τινὰ τούτῳ προὐξένησε. φιλίως δὲ καὶ διδασκαλικῶς ἐκεῖνος πρὸς ἐμὲ διακείμενος ὡς ἄλλου ταῦτα πάσχοντος ἔκρινεν – οἶδε καὶ γὰρ ὁ φίλος θνήσκειν ὑπὲρ τοῦ φίλου –. ἀλλ' ὦ τοῦ Ἑωσφόρου υἱέ, ὦ τῆς πονηρίας τὸ κύημα, ὦ τῆς ἀλο- 455

H **450** κατὰ τοῦ διδασκάλου μου: vid. ad **422–423**

L **433** οὕτως **C** ‖ **434** ὁρμῇ] ὁρμὴ **BA** | ἐβάκλιζε] ἐβακχίαζε fort. scribend. ‖ **438** διεχόριζε fere **BAC** ‖ **440 sq.** ἐκτεταμένον **C** ‖ **444** μένη **A** ‖ **446** με γοῦν] μὲν οὖν **A** ‖ **452** διδασκαλικὸς **C** | ἐκεῖνος om. **C** ‖ **453** πάσχοντος ἔκρινεν] κρίνοντος ἔπασχε **C** | καὶ **D**[sl] ‖ **454** ὁ om. **D** ‖ **455** ἑοσφόρου **BAC**

M **453–454** γνω(μικόν) **BAD**

γίας τὸ ἔμβρυον – ἤδη γὰρ εἰ καὶ τεθνηκὼς ὑπάρχεις
ψυχῇ καὶ σώματι, ἀλλ' ὡς ζῶντί σοι διαλέξομαι –, τί
ἀποστερεῖν με ἠρέσκου φιλοσοφίας ἢ τοῦ θεοῦ; ταὐτὸν
γάρ ἐστι τὸ στερίσκεσθαί τινα τῆς σοφίας τῷ στερί-
460 σκεσθαι τοῦ θεοῦ· ἀντίστρεψον πῶς δοκεῖ, οὐκ ἔστι δὲ
καὶ ταὐτὸν τὸ στερίσκεσθαι τοῦ θεοῦ τῷ στερίσκεσθαι
τῆς σοφίας; στερίσκειν με γοῦν ἠρέσκου καὶ θεοῦ καὶ
σοφίας, ἐπειδὴ ἡ τοῦ ἑνὸς στέρησις ἀναιρεῖ τοῦ ἑτέρου
τὴν ἕνωσιν. ποῦ δὲ καὶ τὸ 'ὁμοίωσις θεῷ κατὰ τὸ δυνα-
465 τὸν ἀνθρώπῳ' παρέβλεπες; εἰ γοῦν ἔργα πράττειν θεοῦ
καθὼς ἐφικτὸν ἠβούλου, ἠρέσκου ἂν τὴν φιλοσοφίαν·
ὅτι δὲ σκότους πράξεις ἐτέλεις, ἀπευκταίαν ταύτην
ἡγοῦ. φιλοσοφία καὶ γὰρ 'ὁμοίωσίς' ἐστι 'θεῷ κατὰ τὸ
δυνατὸν ἀνθρώπῳ'. τὸ δὲ 'γνῶσις τῶν ὄντων' *καθὸ ὄντα*
470 *εἰσὶν* ἡ φιλοσοφία, ἐν τίνι παρεθεώρεις; ἢ οὐκ οἶδας ὁ
γινώσκων τὰ ὄντα καθὼς ἔχουσι φύσεως γινώσκει καὶ
τὸν ὑπὲρ τὰ ὄντα θεόν; ἐκ τούτων καὶ γὰρ διέρχεται
πρὸς τὴν ὑπεροχὴν τῷ νοΐ· ὁ γὰρ γνοὺς ὡς ὑπάρχει τὰ
ὄντα, γνοίη ἂν καὶ τὸν ὑπὲρ τὰ ὄντα· γνοὺς δὲ αὐτὸν οὐ
475 κατ' οὐσίαν ἀλλὰ κατὰ βασιλείαν τε καὶ ἰσχύν, ὡσαύ-

F **464–465** Ammon. in Porph. isag. prooem. = 3,8–9 Busse Ioh. Dam. dial. 66 = I 137,5–6 Kott. anonym. Byz. in anecd. Par. = IV 397,28–29; 405,24–25 Cram. (ex Plat. Theaet. 176 b 1–2) || **468–469** vid. ad **464–465** || **469–470** Ammon. in Porph. isag. prooem. = 2,22–23 Busse Ioh. Dam. dial. 66 = I 136,2–3 Kott. anonym. Byz. in anecd. Par. = IV 397,22–23; 399,9–10 Cram. (ex Arist. ex. gr. metaph. XI 1060 b 31) || **470–477** cf. Septuag. sap. 13,1–9 Sirac. 17,8–10 Paul. ep. Rom. 1,19–20

L **459** τὸ] τῷ **B^{ac} A $D^{ac\ prob}$** || **461** καὶ **B^{sl}** | ταὐτὸ **C** || **463** τοῦ ἑτέρου bis scr. **D** || **469** καθὰ **C**

M **459** ση(μείωσαι) **D**

τως τε καὶ ἀορισίαν, κατὰ τὸ δυνατὸν ὁμοιωθήσεταί γε αὐτῷ. τί δ' ἂν ἄλλο μακαριώτερον, ἢ τὸ ὁμοιοῦσθαι θεῷ τὸν ἄνθρωπον; οὐδεὶς δ' ἄλλος τούτου ἀξιωθείη καλῶς, ἢ ὁ πρῶτος φιλόσοφος, ὅστις ἐστὶ καὶ μουσικός. μόνος καὶ γὰρ κατὰ τὸν Πλάτωνα *μουσικὸς ὁ φιλόσοφος,* 480 *ἄμουσος δὲ ὁ κακός·* σὺ δὲ καὶ ἄμουσος καὶ κακός. εἰ δὲ καὶ τὸν ὑπὲρ τὰ ὄντα θεὸν γινώσκει ὡς ἐφικτὸν ὁ διερχόμενος τὴν γνῶσιν τῶν ὄντων, τάχα ἄν τις εἴπῃ νοήσῃ καὶ τὰ καταδεέστερα. εἰ δὲ ταῦτα νοήσει καλῶς, οὔποτ' ἂν εἴπῃ τις ἀποδιδράσκειν αὐτὸν τὴν σκυτευτικήν. εἰ 485 γοῦν καὶ βαναύσως ἠβούλου παιδεύειν με, ἔδει σε καὶ οὕτως παραχωρεῖν με φιλοσοφεῖν· ἐκ τῶν ὄντων γάρ εἰσι καὶ τὰ βάναυσα.

15. Πῶς δὲ καὶ τὸ 'μελέτην θανάτου' λέγεσθαι τὴν φιλοσοφίαν ὑπολαμβάνεις; πάντως ὡς παιδαγωγὸν τῶν 490 καλῶν, ἢ τῶν ἡδονῶν μᾶλλον παράθηξιν; τὸ πρῶτον μὴ παραιτήσῃ, ἀλλὰ ζῶν μὲν οἶδα καλῶς οὐδ' ἠνέσχου ἀκούειν τοῦ θανάτου. καὶ πῶς ἂν ἐμελέτησας; πείθομαι δὲ καλῶς παιδευθῆναί σε τανῦν παρὰ Πλούτωνι καὶ καταμαθεῖν σε τῆς τοῦ θανάτου μελέτης τὸ χρήσιμον 495 καὶ μετάμελον ἔχειν σε. πῶς οὐκ ἐφιλοσόφεις, ἵν' ἐξ ἀνάγκης μελέτην ἔχῃς θανάτου; εἰ γὰρ εἶχες, ἐξέφυγες

F **480–481** Plat. soph. 253 b–c.e; 259 e 1–2 || **489** Ammon. in Porph. isag. prooem. = 4,16 Busse Ioh. Dam. dial. 66 = I 137,4 Kott. anonym. Byz. in anecd. Par. = IV 397,27–28; 401,7 Cram. (ex Plat. ex. gr. Phaed. 81 a 1–2; 67 e 1–6)

L **476** τε] δὲ **A** | ἀορισίαν] an ἀοριστίαν scribend.? || **477** τὸ] τῷ **BAD**[ac prob] || **481** σὺ δὲ καὶ ἄμουσος καὶ κακός ex homoeot. om. **D** || **483** νοήσῃ] νοήσει **B**[ac] || **492** παραιτήσει **A**[ac] || **493** μελέτησας **D** || **494** πλάτωνι **D**

ἂν τά σε κατακρίνοντα δικαστήρια. 'τέχνην τεχνῶν' δὲ
'καὶ ἐπιστήμην ἐπιστημῶν' τὴν φιλοσοφίαν ἀκούων, πῶς
500 ἀτεχνῆ καὶ ἀνεπιστήμονα εἶναί με ἔσπευδες ὁ τῶν
συνοισόντων διδάσκαλος; ἀλλ' εἴπῃς μερικόν τι πρᾶγμα
διδάσκειν με ἤθελες, καὶ κατάμαθε καὶ ἐν τούτῳ τὸ
ἀνεπίληπτον. ἐξ ἀνάγκης τῷ γένει ἕπεται καὶ τὸ εἶδος
καὶ τὸ ἄτομον· εἴδει τε ἢ ἀτόμῳ οὔποτ' ἂν τὸ ὅλον ἕψη-
505 ται, ἀλλὰ μέρει τούτου τῷ ἐν τῷ εἴδει ἕψεται παντὶ τῷ
εἴδει καὶ μέρει τῷ ἐν ἀτόμῳ ἕψεται τῷ ἀτόμῳ· ἡ γὰρ
ἕνωσις ἢ ὅλον τῷ ὅλῳ, ἢ μέρος τῷ μέρει, ἢ ἄκρον τῷ
ἄκρῳ ἐστίν. εἰ μὲν ἐπίστασαι σύνες, εἰ δ' οὐ καὶ πάλιν
μένε νεκρός. τοίνυν οὖν διὰ ταῦτα νοεῖν σε ἔδει, ὅτιπερ
510 γνῶσις καθολικωτέρα τῶν ὄντων καὶ πάσης τέχνης καὶ
ἐπιστήμης ἡ φιλοσοφία ἐστί, καὶ ὅτι εἰ τῷ ὅλῳ διόλου
ἑνοῦμαι, ἑνοῦμαι ἂν καὶ τῷ ἐν τῷ ὅλῳ μερικῷ. εἶθ' οὕ-
τως καὶ ὅπερ ἠβούλου διδάσκειν με οὔποτ' ἄν με ἐξέφυ-
γεν, ὅλον τῷ τῆς ἐπιστήμης καὶ τέχνης τῶν ἐπιστημῶν
515 καὶ τεχνῶν ὅλῳ σώματι διὰ τῆς παιδείας ἑνώσας με. εἰ
γὰρ ἶσα τοῖς ἴσοις μιχθῶσι, πάντα τὰ μέρη αὐτῶν τῇ
ἑνώσει τούτων τὰ πέρατα περικλείσουσιν· οἱ γοῦν ὅροι
θατέρων περιέξουσι μέρη τὰ τῶν ἑκατέρων, κἂν ὅτιπερ
οὐκ ἶσα τὰ μέρη συμβῶσιν τυχόν. ἆρ' οὖν εἰ καὶ τοῖς τῆς
520 φιλοσοφίας κανόσι καὶ λόγοις καὶ τρόποις παρεχώρεις
ἑνοῦσθαί μοι, καὶ τὸ μερικὸν εἰ τέως ἠβούλου, ὅπερ
ἠβούλου διδάσκειν με, οὔποτ' ἄν με διέδραμε. τὸ δὲ τῆς

F **498–499** Ammon. in Porph. isag. prooem. = 6,27 Busse Ioh. Dam. dial. 66 = I 137,11–12 Kott. anonym. Byz. in anecd. Par. = IV 410,24 Cram. || **503 sqq.** cf. Arist. cat. 3 a 35–39; b 1–2.5–7 Ioh. Dam. dial. 9–10 = I 72 sqq. Kott.

L **498** σε] σὰ **C** || **509** σε **C**^{sl} || **511** δι' ὅλου **C** || **516** μοχθῶσι **D** || **520** κανόσι **B**^{c}

σῆς ἀνοίας μεστὸν ὅτι με καὶ κατάλληλον φύσει πρὸς ταύτην ὁρῶν, τὸ δὲ 'γνῶσιν θείων τε καὶ ἀνθρωπίνων πραγμάτων' διαφημιζομένην αὐτὴν ἀκούων, ποῖον ἠρέ- 525 σκου – καὶ διὰ τοῦτο ἐξεμαίνου ὁρῶν με φιλοσοφοῦντα – ἀποσπᾶν με τῶν θείων, ἢ ζῳώδη ποιῆσαί με τέλεον; ἴσως γὰρ ὁ τὰ θεῖα μὴ συνιείς ἐστιν ἀνθρωπικώτερος, ἀνανεύσει τε οὗτος ἔστιν ὅτε καὶ θεάσεται ἀμάρυγμά τε καὶ τυχὸν φωτισθῇ· ὁ δὲ καὶ τῶν ἀνθρωπίνων ἀπε- 530 στερημένος ζῳώδης ὅλος ὑπάρχων πρός τε τὴν γαστέρα νεύων καὶ τοῖς αὐτῆς κακίστοις σκιρτήμασι, πότ' ἂν ἀνανεύσῃ τῆς τῶν ἀλόγων ζῴων συναριθμήσεως καὶ τῇ τοῦ λογικοῦ μοίρᾳ ταχθείη; καὶ πότε ταύτης ἀποχωρή- σει καὶ τοῖς θείοις συνενωθῇ; εὔτμητος ὑπάρχει γὰρ ἡ 535 ζωή, δυσχερὲς τὸ κατόρθωμα, καὶ ὁ εὐμοιρήσων τούτου διὰ ταῦτα τίς ἄν; ἀλλὰ σὺ οἷα μισάνθρωπος ἀποστερεῖν με καὶ τῶν ἀμφοτέρων ἐπόθεις, ἵν' ἔνθεν κἀκεῖθεν πέμ- πῃς καὶ παραπέμπῃς τοῖς κακίστοις σου τρόποις, κἀκ τούτου γελοιώδη με κατά σε ἐκτελέσας ᾄσῃς τὰ νικητή- 540 ρια. χειρὶ δὲ κυρίου *οὐκ ηὐφράνθης ἐν ἐμοὶ ὁ ἐχθρός μου* σύ, μᾶλλον τῆς ἀληθείας· ἐγὼ δὲ ζήσας καὶ ζήσομαι καὶ χαρήσομαι καθεκάστην ἐπάνω τῶν ἰοβόλων πατῶν.

F 524–525 Ammon. in Porph. isag. prooem. = 3,2 Busse Ioh. Dam. dial. 66 = I 136,3–137,4 Kott. anonym. Byz. in anecd. Par. = IV 397,23–24; 400,16 Cram. (ex Plat. ex. gr. resp. VI 486 a 1–6) || **535–536** cf. Hippocr. aphor. 1,1 = IV 458,1 Lit. ὁ βίος βραχύς, ἡ δὲ τέχνη μακρή || **541** Septuag. ps. 29,2

L **523** ab ὅτι με καὶ κατάλληλον usque ad finem deest **B** || **530** τε om. **D** | τὰ ante τῶν add. **D** || **530 sq.** ἀποστερημένος **A** || **539** παραπέμπεις **A** | κἀκ] κἂν **C** || **543** χαρίσομαι **A** | (et 727.987) καθ' ἑκάστην **D**

16. Ἐπεὶ δὲ καὶ 'φιλίαν σοφίας' τὴν φιλοσοφίαν παρά
545 τισιν ἐδιδάσκου, τίνος ἕνεκεν ἀφιλοσόφως ἐπόθεις ζῆν
με; οὐχ ἑτέρου οἶμαι χάριν, ἢ τοῦ χωρίζειν με τοῦ θεοῦ.
ταύτην γὰρ *καὶ οὗτος ἠγάπησεν,* ὁ δ' ἀντικείμενος τὴν ἐκ
διαμέτρου καὶ προσάπτειν με δαίμονι. ὢ τῆς ἀνοίας, ὢ
τῆς παραπληξίας, ὢ τῆς μισανθρωπίας, ὢ τῆς σκαιότη-
550 τος. ἤθελον διὰ ταῦτα προσκαλέσασθαι πᾶσαν τὴν γῆν,
πᾶσαν γνῶσιν, πᾶσαν φιλοσοφίαν, πᾶν εἶδος παιδεύ-
σεως, ἵνα κατίδωσι διδάσκαλον ἀλογίας καὶ μαθητὴν
ποθοῦντα φιλοσοφίαν, τὰ μαχόμενα συνδιάγοντα καὶ τὰ
διῃρημένα συνηνωμένα, τὰ μὴ συγγενῆ συνυπάρχοντα
555 καὶ τὰ ἀπροσφυῆ κοινωνοῦντα. καὶ τοῦτο τάχα κατα-
καγχάσουσι ἢ θρηνήσουσιν, ἢ χαρμολύπῃ τινὶ δώσουσιν
ἑαυτὰς μὴ στέξασαι τὸ δεινόν· εἴπῃ δέ τις διὰ τοῦτο
διορατικώτερον ἐπιστήσας, ὅτιπερ καὶ τὸ θεῖον ἐξευμε-
νισθῇ καὶ οἷον συμπάθῃ αὐταῖς καὶ ἐμοί, καὶ ἔξω τι διὰ
560 ταῦτα τὸ παραμύθιον. ἀλλὰ τί σοι τὸ συνοῖσόν ἐστι βοᾷ
μοι φιλοσοφώτερόν τις τῶν ἐμῶν, τοσοῦτον τὸ δέος
περιάξαι πρός σε, καὶ τότε ζῳυφίου ἀποπνεύσαντος πα-
ρακινηθεὶς ἀφορμῇ, καὶ οἷόν σοι γενήσεται κἀκ τούτου
τὸ χρήσιμον, εἰ μὴ καὶ τάραχον παραστήσεις ἐκ τῆς το-
565 σαύτης περιφανοῦς συναθροίσεως, ἣν λῦσον βαίνειν
τοῖς προσφυέσι, καὶ μὴ τῷ ψήγματι τὸ πᾶν θρηνεῖν

H **547–548** τὴν ἐκ διαμέτρου: sc. τὴν ἀλογίαν || **565** βαίνειν: sc. φιλεῖν?, cf. Hesych. lex. s. v.

F **544** Ammon. in Porph. isag. prooem. = 9,7 Busse Ioh. Dam. dial. 66 = I 137,13 Kott. anonym. Byz. in anecd. Par. = IV 414,7 Cram. || **547** vid. ad **346–347**

L **555 sq.** κατακαγχάζουσιν **C** || **556** δώσωσιν **A** || **557** στέξαι **D** || **563** ἀφορμὴ **A** || **564** παραστήσης **C** || **565** λῦσον βαίνειν] locus dubius, an lacunosus?

παραστήσῃς. ἔχει γὰρ τὸ κνώδαλον τοῦτο εἰς οἰκεῖον τὴν οἰκείαν κακίαν αὐτοῦ θρίαμβον καὶ πρὸς ἀναστήλωσιν τῶν πονηριῶν αὐτοῦ τὰς αἰσχρὰς καὶ ῥυπαρὰς τούτου πράξεις, αἳ συνιστῶσι τὸ γελοιῶδες αὐτοῦ τε καὶ 570 βρεφικόν. πεισθεὶς γοῦν διὰ ταῦτα τῷ λέγοντι ἐῶ τὸν σκοπὸν καὶ βαίνω κατόπιν τῶν πρόσθεν λόγων, ὁμιλεῖν ἐκείνῳ τὰ τῆς μυσαττομένης τοῦτον φιλοσοφίας, καὶ μή μου τῶν λόγων τις ἀμελέστερον ἀκροάσηται δυσωπῶ. πείθομαι γὰρ ὅτιπερ καὶ ὁ ἀκούσας ὄνησιν ἕξει καὶ ὁ 575 ἐπιστήσας αὐτοῖς πολλὴν εὑρήσει τὴν ἡδονήν, καὶ πᾶς φιλολόγος κατὰ πολὺ παρακινηθῇ πρὸς τὴν τῶν λόγων ἀγάπησιν. πορίζεται γὰρ ἐκ τῆς κωμῳδίας τῶν πονηρῶν ἀρετή· καθάπερ καὶ ἔκ τινων βοτανῶν, εἰ καὶ μὴ τέλεον ἀγαθῶν, ὁ τῆς μελίσσης καρπός, οὕτω δὴ καὶ ἐκ τοῦ 580 Ποσειδωνείου δαίμονος τούτου γνῶσις νῦν πορισθείη ὡς οἶμαι περιδεξία.

17. Ταῦτα δὲ πρὸς ἄλλους εἰπών, ἢ μᾶλλον πάνδημον ἀποπέμψας τὸν λόγον, ἤδη τρέπω τοῦτον τὸν λόγον πρός σε τὸν τὴν ψῆφον λαχόντα τῆς κωμῳδίας, καὶ κα- 585 ταμαθεῖν σε σπεύδω τὸ μέγα τῆς φιλοσοφίας χρῆμα καθὰ δύναμις, οὐκ ἐμπορευόμενος χάριν ἐξ ἀχαρίστου, οὐχ ἕλκων ἐκ τοῦ κούφου γνῶσιν ἢ σύνεσιν, οὐκ ἐπιδεχόμενος ἐκ τοῦ ἀλόγου λόγον καρπόν, ἀλλὰ στηλιτεύων ἕν σοι τὴν κακίαν καὶ πικρότερόν σε καὶ τοῦ θανάτου 590 τοῦ πάθους ἔχειν τὴν αἰσχύνην ὠθῶν τῶν πράξεων, εἰ καὶ τὸ παράδειγμα φέρεις εἰς φθόνον, ὅπερ ὄνησιν

F 578–579 πορίζεται ~ ἀρετή: vid. ad **49–53**

L **567** παραστήσεις **C** || **568** κακίαν post αὐτοῦ transp. **D** || **569 sq.** τούτου] αὐτοῦ **D** || **573** τούτου **C** || **576** αὐτοῖς om. **D** || **577** παρακινηθῇ] κατακιν. **A** || **579** ἡ ante ἀρετή add. **D** || **587** ἀχαρίστου] ἀρίστου **D** || **589** λόγον] λόγου **C** fort. recte || **591** ἔχων **A**

δώσει πρὸς τοὺς ἐχέφρονας· φθονερὸς γὰρ ὡς οἶδας
ἦσθα τοῖς πᾶσι. μερικὸν δὲ εἰ καί σοι δώσω τὸν λόγον,
595 ἀλλ' οὖν τοῖς ἄλλοις ἔγκαρπον καὶ φιλόσοφον, ὅτι καὶ
ἀποδεικτικὸν ἵνα τί με φιλοσοφεῖν ἐπεκράτεις, ἀνάκτων
υἱόν, ἄρχειν μέλλοντα θείῳ πνεύματι, πολλῶν φροντι-
στήν, πόλεων φύλακα, παρηγόρημα δήμων, καὶ μέσον
κοινοῦ καὶ συλλήπτορα κρίσεως. εἰ γὰρ τὸν ἐπὶ τὰς δί-
600 κας συρόμενον εὐμεθοδώτερον καὶ εὐστροφώτερον ὁμι-
λεῖν ἀναγκαῖόν ἐστιν, ὁπόσον δεῖ τὸν ἄρχοντα τοῦ λαοῦ
κατακρουνίζειν τοὺς λόγους εὐσήμους εἴπω καὶ ἀρετῇ
πάντοθεν κεκαλλωπισμένους; πόσην δ' ἔχειν καὶ τὴν εὐ-
θυδικίαν, πόσον τὸ κριτικόν, πόσον τὸ μεγαλοπρεπὲς
605 καὶ μεγαλοφυές, πόσον τὸ εὐεργετικὸν ἐν ταῖς δόσεσιν,
ἵνα καὶ τὸ καπηλικὸν ἐκφεύγῃ ταῖς λήψεσι, πόσον τὸ
ἱλαρόν, τὸ ἰθυτενές, τὸ στάσιμον, τἄλλα πάντα σὺν οἰ-
κειότητι προσφόρῳ τῶν πράξεων, ἅπερ οὐ χωρὶς δράσει
φιλοσοφίας;

610 *18.* Ἔδει με γοῦν διὰ ταῦτα πάντα καὶ τὰ πλείω τού-
των φιλοσοφεῖν κἂν σὺ πολλὰς εἰσῆγες τὰς δολιότητας,
ἵνα διὰ μὲν τοῦ [κατὰ τὸ] 'γνῶσις τῶν ὄντων' *καθὸ ὄντα
εἰσὶ* τῇ φιλοσοφίᾳ μιγνύμενος ἐλέγχω πᾶσαν ἀπάτην
σὺν τῇ δοκήσει, συνάπτωμαι δὲ τοῖς οὖσιν ἐν ἀληθείᾳ·
615 διὰ δὲ τοῦ 'γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμά-
των' γινώσκω τὰ θεῖα τῶν γηίνων διῃρημένα διὰ τὸ
ἀσύγκριτον, κἀκ τούτου πρὸς ταῦτά με ἐνορᾶν καὶ δι'
ὅλης ἰσχύος ἐκεῖσε τείνειν τὴν σχέσιν, καὶ ὅτι ὁ ταῦτα

F **612–613** vid. ad **469–470** || **615–616** vid. ad **524–525**

L **593** δώσει] φέρει **A** || **599** συλλήπτωρα **A** | τὸ **D** || **607** τ' ἄλλα **C** || **611** εἰσηγῇ **D** || **612** κατὰ τὸ ut glossam seclusi || **614** συνάπτωμαι scripsi: συνάπτομαι **A** ***x*** | δὲ om. **D** || **616** διηρμένα **D** || **618** τείνειν] τοίνυν **A**

νοῶν οὔποτ' ἂν αἰσχρότητος ἔργα τελέσῃ· διὰ δὲ τοῦ
'μελέτη θανάτου', ἵνα μνήμῃ ἔχων ἐν συνεχείᾳ τὸν θά- 620
νατον συνδιάγω ἀρίστῳ παιδαγωγῷ καὶ οὐ κατά σε τὸν
παμβέβηλον, οὗτινος μνήμῃ συνωθοῦμαι πρὸς τὰ καλὰ
καὶ διΐσταμαι τῶν κακῶν – τί δὲ τοῦ ἐκ τοῦ τοιούτου
τρόπου ἐγγινομένου καλοῦ ἐν κόσμῳ κρεῖττόν ἐστιν; –·
διὰ δὲ τοῦ 'ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ', 625
ἵνα ἐπειδὴ ὁμοιοῦσθαι δεῖ τῷ ἄρχοντι τὸ ἀρχόμενον,
πῶς ὁμοιῶμαι τῇ πρώτῃ ἀρχῇ καὶ ὑπὲρ πᾶσαν ἀρχήν,
τῇ ὄντως *ἀνάρχῳ* καὶ *ἀϊδίῳ*, ἐπεὶ δὲ πᾶν ἔργον ἐκείνης
ὅσιόν τε καὶ ἀγαθὸν τάχα τι κατὰ τὸ δυνατὸν αἰσίως
καὶ ὁσίως πράττων βιῶ, ὁμοιούμενος ὡς εἰκὸς τῇ ἀρχῇ – 630
ὁποῖον γοῦν τοῦτο τὸ ἀγαθὸν πᾶς ὁ καθαρὰς ἰλύος
ἔχων τὰς φρένας νοεῖ –· διὰ δὲ τοῦ 'τέχνη τεχνῶν καὶ
ἐπιστήμη ἐπιστημῶν', ἵνα ἐπὶ θεοῦ προνοίᾳ καὶ φύσεως
ἀκολουθίᾳ ὑπηρετούσης τῷ θείῳ προστάγματι, τῆς
πρώτης ἐπιστήμης, τῶν γε κατὰ τὸν ἀνθρώπινον βίον 635
ὢν κορωνίς, τῆς βασιλικῆς ἐπιστήμης φημί, παντοίαν
ἔχω τὴν ἐπιστήμην – ἐκεῖθεν γὰρ ἐνορᾷ καὶ σοφὸς καὶ
ἰδιώτης, καὶ βάναυσος καὶ στρατιώτης, καὶ ἀδικῶν καὶ
δικαιοπραγῶν, καὶ κρινόμενος καὶ δικάζων, καὶ ἀρι-
στεύων ὡς καὶ ἡττώμενος, καὶ σπουδαῖος καὶ ὀκνηρός, 640
καὶ πένης καὶ πλούσιος, καὶ οἶκος καὶ κώμη, καὶ πόλεις
καὶ κόσμος, καὶ συνελὼν εἴπω πᾶς ὁ λαός· ὁποῖον γοῦν
τὸν ἄρχειν λαχόντα δεῖ εἶναι σύναξον. διὰ τοῦτο οὖν
ἔδει με ἄκρως φιλοσοφεῖν· ἀναγκαῖον γὰρ ἡγοῦμαι γι-
νώσκειν τοὺς ἄρχοντας ἐπιστήμην καὶ ἄτερ ταύτης 645

F **620** vid. ad **489** ‖ **625** vid. ad **464–465** ‖ **628** Ioh. Dam. exp. fid. 2 = II 8,10 Kott. ‖ **632–633** vid. ad **498–499**

L **620** an συνεχεῖ scribend.? ‖ **631** καθαρᾶς **A** ‖ **633** ἐπὶ scripsi: ἐπεὶ **A** *x* ‖ **635** τῶν] τόν **ACD**[ac]

πράττειν μηδέν –· διὰ δὲ τοῦ 'φιλία σοφίας', ἵνα μὴ ἁπλῶς καὶ ματαίως ταύτῃ φιλοσοφῶ, ἀλλὰ μετ' ἔρωτος λίαν πολλοῦ καὶ ἀγάπης καὶ σχέσεως. τὸ γὰρ· ἁπλῶς μοχθεῖν εἰς τὴν ἐπιστήμην καὶ μὴ ἐξ ὅλης ψυχῆς οὐ τῶν
650 γνησίων ἐκείνῃ, ἀλλὰ τῶν τυχόντων παρὰ συνείδησιν, ὥσπερ οὐδὲ φιλοσόφους τις ὀνομάσειε πώποτε μυρί' ἄττα πράττοντας· τὸ γὰρ βίαιον οὐκ ἀσφαλές, τῷ δέ γε προθύμῳ πάντα ῥᾳστά τε καὶ ἀπαρέγκλιτα, καὶ διὰ τοῦτο φιλίως ταύτῃ κἀγὼ διακείμενος ἔλαβον τὴν ἀντι-
655 μισθίαν, ἣν *ὑπὲρ λίθον σάπφειρον* καὶ μαργάρους τιμίους καὶ πάντα κόσμον κεκόσμημαι, καὶ ὅτι ἐκ τοῦ φίλος ὀνομάζεσθαι τῆς σοφίας οὐχ ἔξω τινὰ τὸν ἀνθιστάμενον.

19. Σὺ δὲ πρὸς ταῦτα συλλογιστικώτερον διαλέχθητι καὶ ἀνασκεύασον τὰ προβλήματα καὶ σύναξον ἐν οἰ-
660 κείαις προτάσεσι τό σοι βουλητόν· εἰ δὲ καὶ τῶν ἀδυνάτων τοῦτό ἐστιν ἐπειδὴ καὶ σώματος καὶ φωνητικῶν ὀργάνων ὡς νεκρὸς ὑπάρχων ἐστέρησαι καὶ οὕτω ἀδυνατεῖς, ἀνάθες ἄλλῳ τὴν ἅμιλλαν καὶ μᾶλλον ἐκ τῶν σῶν ὁμοφρόνων καὶ συνοίκων τῇ ἀλογίᾳ. πηλίκον γὰρ τὸ
665 κατόρθωμα τῷ ἀσυμφόρῳ τὸ συμφέρον ἡττᾶσθαι καὶ τῷ ἀδυνάτῳ τὸ ἀναγκαῖον καὶ τῇ ἀλογίᾳ τὸν λόγον. διὰ τοῦτο τοιούτους δεῖ εἶναι καὶ τοὺς εἰσπραττομένους αὐτῷ, ὁμοφυεῖς ἀλογίᾳ καὶ συγγενεῖς τοῦ μὴ ὄντος· οὕτω γὰρ ἂν καὶ στερέμνιον τὸ δομούμενον γενήσηται
670 παρ' αὐτοῖς καὶ λίαν ἑδραιότατον καὶ ἀκράδαντον. τοιούτῳ γοῦν χρῆσαι τῷ σῷ ὑπερμάχῳ. εἰ δὲ καὶ παρεσπάρῃ σοι γνῶσις ἐκ τῶν ἐν Ἅιδῃ κακῶν, ὧν τῇ πείρᾳ τοῖς ταῦτα πάσχουσι φαίνονται τὰ πράγματα ἐναργέ-

F **646** vid. ad **544** ‖ **652** cf. Arist. eth. Eud. II 1223 a 29–30 τὸ δὲ βίαιον λυπηρόν ‖ **655** Septuag. lament. 4,7

L **663** σῶν om. **D**

στερα, διαπόρθμευσον καὶ ταύτην αὐτῷ, ὅπως ἐπιστη-
μονικώτερον παραστήσῃς τὸν σύλλογον. καὶ γὰρ διαρ- 675
ρευσάσης σαρκός, ὕλης μὴ ὑπαρχούσης, ἀπερισκιάστως
ὁρώσης ψυχῆς, ἀθροίζονται ἐν τῷ ἀνθρώπῳ τὰ κάλ-
λιστα· κάλλιστα δὲ λέγω τὰ ἀληθῆ, ἄνθρωπον δὲ ὅταν
λέγω τὸν ἐπιστάμενον τὰ τοῦ ἀνθρώπου βοῶ. σὺ δὲ κα-
λῶς μὴ βιώσας οὐκ εἶχες ἐν ζῶσι τὸ ὄνομα· νῦν δὲ 680
ταῦτα παθὼν μόνον ἔχεις οἶμαι τὸν ἄνθρωπον, ἐπειδὴ
τῇ τοῦ πάχους λύσει συνῆκας τὰ ἀληθῆ· διέδρας γὰρ
τῷ μόρῳ τὴν λήθην καὶ τὴν παχύτητα. εἰ δὲ καὶ σύνεσιν
ἔσχες οὐκ οἶδα, ὅμως δ' οὖν οἶδα ταῖς σειραῖς συνδέδε-
σαι ταῖς ἐν Ἅιδῃ οἷον ὡς *ἐν κημῷ τε καὶ χαλινῷ*, καὶ διὰ 685
τοῦτο τὸ ἀκρατὲς καὶ ἄλογον εἴπερ ἀπέστην ἔκ σου
συναρήγησον τῷ μαχησομένῳ· εἰ δὲ καὶ αὖθις κατειλημ-
μένος ὑπάρχεις τῇ ἀλογίᾳ παραίτησαι τὸ μαχέσασθαι.
ἐγὼ δὲ καλῶς γινώσκων ὅτι λίαν τῇ νεκρώσει προσέθη-
κας νέκρωσιν ἐῶ σε μὲν ἄρτι τῆς διαλέξεως, στηλιτεύειν 690
σε δὲ οὔτε νῦν οὔτ' ἐν ἄλλοις ναρκήσομαι, νῦν δὲ καὶ
μᾶλλον ὅταν καὶ τοὺς ἀκροατὰς ὁμόφρονας ἔχω καὶ
πρεσβευτὰς τῆς μισητῆς σου φιλοσοφίας. ταῦτα μὲν οὖν
πρὸς ἐκεῖνον τὸν λυσσῶντα κύνα εἰπὼν περιέχω τὴν
πρὸς αὐτὸν τῶν λόγων ῥοήν, ὀχετεύω δὲ ταύτην ἐπὶ τὴν 695
πρότερον αὔλακα καὶ πορίζομαι ὕλην ἐκ τοῦ ἀνειδέου
σὺν εἴδει καὶ λόγων πολλῶν ἀφορμὰς ἐκ τοῦ πάμπαν
ἀλογωτάτου, ἣν χάριν οὐδεὶς ἐκείνῳ προσάψει, ἀλλὰ τῷ
δόντι τὴν χάριν θεῷ· ἐκείνῳ δὲ τὰ τῆς αὐτοῦ κακοδο-
ξίας ἐπίχειρα, τοῖς δ' ἄλλοις ἐκ τούτων πορισθείη ἡδονή 700
τε καὶ ὄνησις. διόπερ οἷά τις ἐγὼ φιλολόγιος φιλοτιμοῦ-

F **685** Septuag. ps. 31,9

L **691** σε om. **C** || **695** τὸν λόγον **A** || **696** προτέραν **A** | καὶ] κἂν **A** || **701** ὄνησις **A**[c]

μαι τοῖς ἐμοῖς φίλοις καὶ λογίοις τὴν ἀξιόλογον τοῦ παιδαγωγοῦ κωμῳδίαν ὥσπερ τι ἥδυσμα ἀφ' ἑστίας βασιλικῆς.

705 *20.* Εἶχε μὲν οὖν οὗτος ὑπερηρμένην τὴν ὀφρὺν κατ' ἐμοῦ καὶ ἃ μὲν ἀλόγως ἔλεγέ τε καὶ ἔπραττε πρωτοτύπους ἀρετῶν καὶ παιδείας εἰκόνας ᾤετο εἶναι· ἃ δὲ κἂν ἄλλοις ἀγαθὰ ὠνεῖσθαί με ἔβλεπεν ἐλογίζετο μισητὰ καὶ ὡς εἴπῃ τις πότμον οἰκεῖον, καὶ τὸ καινὸν ὅτι
710 καὶ τοσοῦτον ἔχων τὸ καπηλικόν τε καὶ λίχνον ὥσπερ οὐδείς, καὶ διὰ τοῦτο τὰ πῶς ἐμὰ πῶς ἀπ' ἐμοῦ πορίζόμενος, οὐκ εἶχε κόρον ὁ ἄπληστος, ἀλλὰ καὶ πάλιν χανδὸν ῥοφᾶν ᾤετο σὺν ἐμοὶ καὶ χρήματα καὶ φιλοσοφίαν, ἣν οὐ τύραννοι οὐ δυνάσται οὐ γῆς βασιλεῖς ἢ
715 φεύγουσαν ἐκράτησαν ἢ ἐλέγχουσαν ἐτυράννησαν. ἀρετῆς γὰρ εἰλικρινείᾳ καὶ πόθου ζέσει καὶ λόγων ἐπιστημόνων σπουδῇ αὐτὴ πᾶσι περικατέχεται, κἂν ὅθεν ἔχωσι τὴν πατρίδα καὶ τοὺς γονεῖς· τοῖς δ' ἄλλοις ἀδρανὴς ὁρᾶται καιρῷ, ἐπὰν δὲ βουληθῶσι κυριεύειν
720 αὐτῆς ὑπὲρ τὰς Καυκάσου κορυφὰς καὶ τοὺς ἡλιακοὺς περιδρόμους καὶ τὰ τῆς ἀνάστρου σφαίρας ξύμπαντα νομίζεται μέρη. διὸ ἐμὲ μὲν καὶ τὰ χρήματα ἐτυράννει ἄχρι καιροῦ, αὐτὴν δὲ οὔτε στενοχωρεῖν ἠδυνήθη – πῶς γάρ; – οὔτε ὁρᾶν ἠξιώθη· ἀμφοτέρωθεν εἶχε γὰρ τὴν
725 ἀλογίαν διάφραγμα. κακοηθείᾳ δὲ τοσαύτῃ συζῶν οὐκ εἶχεν ἔλεγχον τὴν συνείδησιν, εἶχε δὲ τὴν ἀκρισίαν ὡς σύμβουλον, ἐξ ἧς ἐπορίζετο καθεκάστην στίγματα μωλώπων, ἀκρασίας καὶ ἀπληστίας, τεχναζόμενος ἀνυπόστατα καὶ τὰ κυριακὰ δεικνύειν ῥητά. καλύπτρᾳ γὰρ ἐξ
730 ἐρίων ἐρυθροβαφεῖ κατακαλυπτόμενος ἐν ἡμέραις ἑορτασίμοις, καὶ ταύτην παρὰ τὸ πρέπον, ἢ μᾶλλον παρα-

L **702** φίλοις καὶ λογίοις] λ. καὶ φ. **A** | τὴν] καὶ **D** ‖ **717** αὔτη **A** ‖ **724** εἶχε post γὰρ transp. **D** ‖ **727** σύμβουλος **C**

χωρήσει θεοῦ, οὐκ ἴσην τοῖς πᾶσιν ἐσκέπετο· καίτοι μυρίων ὄντων τῶν κατ' ἐκεῖνον μαλακοφόρων, ἀλλ' ἐκτεθηλυμένος πάντων μόνος ὢν αὐτὸς τὴν ψυχήν, ὑψηλοτέραν αὐτὴν ἐτεχνάζετο, παραβλέπων τὸ *μὴ δύνασθαί τινα* 735 *ἐπὶ τὴν ἡλικίαν αὐτοῦ προσθεῖναι πῆχυν ἕνα,* καὶ τότε ὅτι καὶ κυριακόν ἐστι τὸ ῥητόν. δίπηχυν δὲ ταύτην κατασκευάζων ἑωρᾶτο ταύτην φορῶν δίκρανος, ἢ μᾶλλον κροκόδειλος ὡς ἔκ τινος προκύπτων ὀπῆς. εἴωθε δὲ καὶ τὰ πέδιλα κατασκευάζειν τοῦ ἐδάφους ὑπερηρμένα, ἵνα 740 τοῖς μὲν ἡ κορυφὴ τὴν ἀπάτην δίδωσιν αὐτοῦ, τοῖς δὲ τὰ πέλματα τῶν ποδῶν· ὅλος καὶ γὰρ ὑπῆρχεν ἀπατεών. περὶ δὲ τὸ μέσον οὐ χρὴ λέγειν τὸ σῶμα αὐτοῦ, ὅτιπερ οὐδ' ἦν ἢ τὸ χωρίζον τὴν καλύπτραν τε καὶ τὰ πέδιλα· εἰ δὲ καὶ σῶμα δεῖ τοῦτο εἰπεῖν λελέχθω. πλὴν 745 δ' οὕτως τὸ Γιγαντιαῖον ἐκεῖνο καὶ Κρονικὸν ἐνεδέδυτο ἐσθῆτα οὐκ ἄδοξον τέχνῃ, ἄδοξον δὲ πάνυ ὅτι αὐτὸς ταύτην περιεβάλλετο. τέθηπε δὲ ταῖς εἰσόδοις τῶν ἀνακτόρων, ὥσπερ μῦς ἐν τρώγλῃ διαδρὰς μυγαλῆς μόρον. ἐγὼ δὲ ταῦτα ὁρῶν ᾐσχυνόμην τοῖς παραλόγοις· 750 πολὺν γὰρ εἶχε τὸν γέλωτα ἔκ τε σώματος καὶ ψυχῆς, ἔστεγον δὲ τὸν τῆς ἡλικίας ἀναμένων καιρόν.

H **749–750** μυγαλῆς μόρον: mus araneus dissectus et impositus contra suos ipsius morsus adminiculum putabatur, cf. Diosc. de mat. med. II 68 = I 142,17–18 Wellm.

F **735–736** ev. Matth. 6,27 ev. Luc. 12,25

L **732** ἴσιν **AC** || **734** μόνος post αὐτὸς transp. **C** || **736** ὅτι] ὅτε **D** || **737** καὶ om. **D** || **740** ὑπερηρμένου **C** || **742** ὅλως **A** || **744** ὅπερ **D** | χωρίζων **A** || **745** πέδηλα **AD** | δεῖ] δὲ **A** || **747** ἐσθῆτα] αἰσθ. **A** || **751** ψυχῆς] * * * ῆς **A**

M **747** ἐσθῆτα **A**

21. Πολλοῦ δέ μοι διελθόντος πρὸς αὐτοῦ μὲν ἐτύγ-
χανον ἱκανότητος, φιλοσοφίαν δὲ οὐ δεῖ με λέγειν· ἐκ
755 τῶν παίδων γὰρ γινώσκονται οἱ γονεῖς, ὡς εἰκὸς διηρχό-
μην. οὗτος δὲ οἷαπερ κύταλίς τις ἐνεδύετο τὸν τῶν δια-
βολῶν κονιορτόν, ἀμφοτέρωθεν δὲ δάκνων ποσί τε καὶ
κεφαλῇ τοὺς ἀμφοτέρους ἐμάχετο, διδάσκαλόν τε καὶ
μαθητήν· ὅσον δ' ἡμᾶς πρὸς δίκας καὶ ἐλεγμοὺς παρεισ-
760 έφερε, τοσοῦτον ἡμεῖς ἑπταπλασίως χρυσοῦ δίκην
ἐστίλβομεν – πέφυκε γὰρ ἡ δοκιμὴ τῶν ἀνδρῶν ἐπιτεί-
νειν τὴν αὐτῶν ἀρετήν –. διόπερ αὐτὸς μὲν ἐκίνει πᾶ-
σαν μηχανὴν καθ' ἡμῶν, ἡμῖν δὲ θεὸς τὸ κράτος ἐβρά-
βευσε. τί χρή με λέγειν τὰς ἐνέδρας, τὰς διαβολάς, τὰς
765 συκοφαντίας, τὰς ὕβρεις, τἄλλα πάντα, ἃ καὶ λιθίνην εἰ
ἴσως προσέρρευσαν ἐκίνησαν φύσιν, ἅτινα κατὰ τῆς κε-
φαλῆς ἡμῶν κατέρριπτεν ὡς λίθον βαρύν; ἀρρήκτους δὲ
λόγῳ καὶ φιλίᾳ βλέπων ἡμᾶς, ἐξῆπτε 'τὴν κάμινον' τῆς
ψυχῆς καθ' ἡμῶν, ὁ παλαιὸς Ναβουχοδονόσορ καὶ νέος
770 Βὴλ Βαλτάσαρ τοῦ νοητοῦ, τὸ Γιγαντιαῖον βρέτας κατ'
ἄρσιν καὶ Θερσιτικὸν δέμας κατὰ συνίζησιν, ἡ τῆς Χι-

H **756** vocem κύταλις eandem ac σκυτάλη (seu σκυταλίς) puto, qua serpens appellatur ap. Nicandr. ther. 384.386 Philum. venen. an. 27 = 32,17–33,7 Wellm. et vid. Ioh. Tzetz. hist. IX 258,148 = 350 Leone || **758** διδάσκαλον: vid. ad **422–423**

F **754–755** cf. Diog. V 15 = CPG I 252,5 Apost. VI 90 = CPG II 389,4 ἐκ τοῦ καρποῦ τὸ δένδρον || **768** Septuag. Dan. 3,19 || **770** de Βήλ et de Βαλτάσαρ cf. Septuag. Bel-et-dr. 1–22 Dan. 5,1–30 || **771** cf. prov. append. III 19 = CPG I 419,19–20 Θερσίτειον βλέμμα καὶ Θερσίτειον εἴδωλον

L **756** τὸν] τὸ **A** om. **D** || **765** τ' ἄλλα **C** || **766** προέρρευσαν **C** || **769** ὁ] καὶ **D**

M **770** ση(μείωσαι) **A**

μαίρας οὐρά, τὸ ἐαρινὸν θηρίον καὶ ἰοβόλον, ὁ μέγας
κακὸς καὶ τὸ πλεῖον κακὸς καὶ ὅλον κακὸς καὶ τῷ ὄντι
κακός, ὁ κέπφος τῇ γνώσει, βάτραχος δὲ ταῖς φωναῖς
καὶ τῷ βίῳ παντὶ βρικαλός, ἡ ξηρὰ ἄμπωτις, τὸ περὶ 775
τὴν Θούλην θαλάσσης πάθημα, τὸ τῆς αἰσχρότητος τέ-
μενος, ὁ οἶκος τῆς ἀσελγείας, τῶν Ἀφροδισίων τὸ
τέρμα, τὸ τῆς σωφροσύνης ἐχθρόν, ἡ πάντων τῶν βδε-
λυκτῶν ἀρχὴ καὶ μέση καὶ τελευτή, ὁ Μωάμεθ υἱὸς διὰ
τὸ σφαιρικώτερον τῆς διαρτίας, ἡ πηγὴ τῆς κακίας, αὐ- 780
τὸς ὁ σατάν. θεὸς δὲ τὸ μέγα ὄμμα, ὁ ἔφορος πάσης
πνοῆς, ὁ πόλου τέκτων καὶ χθονός, ὁ ζώντων καὶ μὴ
ζώντων θεός, ὁ ὄντων καὶ παρελθόντων καὶ γενησομέ-
νων κύριος, ὁ ὑλικῶν καὶ ἀΰλων καὶ αἰσθητῶν καὶ
ἀναισθήτων βασιλεὺς καὶ θεὸς εἰς τὴν τούτου κάμινον 785
ἡμᾶς οὐκ εἴασεν ἐμπεσεῖν, ἀλλὰ διαφυλάξας ἡμᾶς ταύ-
της ἐρρύσατο, ἐκεῖνον ὀλέθρῳ τάχιον δούς – ψυχῆς γὰρ
κακοτροπίαν θάνατος ἀφανίζει.

22. Διὸ δὴ τὰ καθ' ἡμῶν τούτου ἔργα ὡς ἐχρῆν λέ-
ξας, βαδιοῦμαι ἀπάρτι λέγειν τὰ τοῦ θανάτου αὐτοῦ, 790
ἄλλους παραχωρήσας βοᾶν τὰς πρὸς τοὺς δούλους
ἐκείνου κακοτεχνίας, τὰς τῶν ὑποτελετῶν θεοῦ κρίμα-
σιν ἀδικίας, τὰς περὶ μοιχείας καὶ πορνείας ὁρμάς, τὰς

H 775 de voce βρικαλός cf. nostrum in ep. 28 = 38,7–8 Festa ubi βρικαλόβιος (ἄνθρωπος γὰρ β. οὔποτ' ἂν νουνεχής, ἀλλὰ πλεῖστά γε ἀλογώτατος) et adn. ad l. || **779** ὁ Μωάμεθ υἱός: Turcum significat, in malam partem dictum

F **782** ὁ πόλου ~ χθονός: cf. Septuag. ps. 123,8; 133,3 || **782–783** ὁ ζώντων ~ θεός: cf. act. apost. 10,42 Paul. ep. Rom. 14,9

L **778 sq.** βδελυκτὸν **D** || **789** δὴ om. **A** || **790** ἀπ' ἄρτι **C**

M **787–788** ὡρ(αῖον) **D**

περὶ γαστριμαργίαν ἀπληστίας, τὰς ἐν οἴκῳ βλακείας,
795 τὰς εἰς ἀλλοτρίους συκοφαντίας, τὸ ἐν ὑπηρεσίαις τῶν
βασιλειῶν βραδύ, τὸ ἐν βουλαῖς ἄμουσον καὶ ψυχρόν,
τοὺς ἐν πολέμῳ δειλανδρισμούς, τὰς ἐν εἰρήνῃ διχοστα-
σίας – οἶμαι δὲ πάντως καὶ ταύτας διὰ τὴν εἰρήνην
αὐτοῦ –, τὸ τῆς νωχελίας μῆκος αὐτοῦ, τὸ τοκιστικὸν
800 τοῦ χρυσοῦ, τὸ ἀπαρατήρητον τῶν ἁγίων, τὸ μεμιασμέ-
νον τῶν πράξεων, τὸ δωροδοκητικόν – εἰ πώς ποτε εἶχε
καὶ κρίσιν –, τὸ νηπιῶδες τῶν διαλέξεων, τὸ σαθρὸν
τοῦ φρονήματος, τὸ τῆς γλώττης δυσκίνητον εἰς καλόν,
γοργὸν δὲ πρὸς τὸ κακοποιῆσαι ψυχήν – ἐπεκάθητο
805 γὰρ ἐν αὐτῇ πως ὁ διάβολος –, τὸ ἀφίλοικτον, τὸ μι-
σάνθρωπον, τὸ ὕφαλον, τὸ κρυπτόν, τὸ παράνομον, τὸ
ἄνομον, τὸ ἄθεον. οὐδὲ γὰρ οἶδε τὸ σύνολον εἰ ἔστι
θεός· θεῷ γὰρ πᾶσα κρίσις ὑπόκειται δουλικῶς, καὶ
ἑπομένως αἱ τούτων τιμωρίαι καὶ ἀμοιβαί. εἰ γοῦν ἐγί-
810 νωσκε κρίσιν, ἐγίνωσκεν ἂν καὶ τίς ὁ κριτής· ὅτι δ' οὐκ
οἶδε κριτὴν ὁ τῆς ἀδικίας κριτής, τὰς κρίσεις διὰ τοῦτο
παρεθεώρει. ὢ τοῦ πάνυ μιαρωτάτου. πῶς καὶ θείας
φύσεως ὑπερεξῆρε τὸν τούτου φίλαρχον νοῦν τὸν Ἑω-
σφόρον μιμούμενος, ὁ τῆς ἀνομίας υἱός; ἀλλὰ ταῦτα μὲν
815 ἄλλοι καθὼς ἀκριβέστερον εἶδον εἴπωσι κατ' ἀλήθειαν.
ἐγὼ δὲ συγκρίνας τοῦτον πρὸς τοὺς ἐκείνου ὁμόφρονας,
πρὸς τὸν αἰσχρὸν ἐκείνου θάνατον τρέψω τὸν λόγον
ὁποῖον γενέσθαι συμβέβηκε διηγήσασθαι, γέλωτος ὄντα
πληρέστατον. εὑρήσω δὲ οὐ ῥᾳδίως τοὺς αὐτῷ συγκρι-
820 θησομένους κακούς· ὁπόσον γὰρ ἀφῆκε μιᾶναι καὶ ἄλ-
λους κακόν, τὸ πᾶν αὐτὸς διόλου οὐσιωθείς, τίς δὲ
τοιοῦτος εἰ καὶ συγκρίνοιτο; ἔλαττον γὰρ τοῦ καθόλου

L **801–802** τὸ δωροδοκητικόν ~ διαλέξεων ex homoeot. om. **D** ‖ **810** καὶ om. **D** ‖ **821** δι' ὅλου **D**

τὸ μερικόν, παρομοίως δὲ καὶ ἐν αὐτῷ τὸ κακόν· πᾶν
γὰρ ἐν αὐτῷ ἦν ὡς ἐν πίθῳ τινί, τοῖς δ' ἄλλοις ὡς ἐν κυ-
λικίῳ σμικρῷ. οὐ ναρκήσω δέ, εἰ καὶ παρὰ τὴν ἐπιστή- 825
μην, τῷ ὅλῳ μέρος συγκρῖναι· εὑρεθῇ δὲ καὶ τοῦτο ἴσως
ἐπιστημονικὸν κατὰ λόγον ποιότητος. τὰ γὰρ ἓξ κατὰ
τὴν ἐξ ἴσου διαίρεσιν τῶν μερῶν πρὸς τὰ δὶς δεκαδύο
συγκριθήσονται, πλὴν ἀλλ' οὐ τῷ ποσῷ. τινὶ γοῦν ὁμοιό-
τητι καὶ αὐτὸς πᾶς κακὸς συγκριθήσεται, ἐπειδὴ καὶ 830
κύαθος ὕδωρ θαλάττης ὅμοιόν τι Ὠκεανοῦ τῇ ποιότητι,
οὐκ ἂν δὲ ποσῷ. παρεικάσω δὲ οὐ πρὸς μεγίστους αὐ-
τόν. πῶς γὰρ ὑψηλοὺς ἄφρονας εὕρῃ τις; ἐκ τῶν ὁμοίων
δὲ καὶ γνώμῃ καὶ φύσει πρὸς τὴν αὐτοῦ λάβω ὑπηρετεῖν
σύγκρισιν. εἰ δὲ καὶ βίᾳ πραγματεύσομαι καὶ αὐτό, ἔξω 835
συγγνώμην· ἔσονται γὰρ ἀληθῆ πάντα τὰ λεχθησόμενα.

23. Νῦν δὲ πρώτως παραβάλλω τοῦτον σώματι πρὸς
τὸν πάλαι Θερσίτην, εἰ μήπως κατ' ἐξοχὴν εὑρήσω εἰς
αὐτὸν τὴν ἀναρμοστίαν. εἰ γὰρ καὶ μήκει ἐκείνῳ ταὐτός,
ἀλλ' οὖν ἀδοξότερος μέλεσι καὶ δυσειδέστερος διαρτίᾳ 840
καὶ τρόπῳ σὺν λόγῳ χείρων. ψυχῇ δὲ πρὸς 'Ἐχέτου θη-
ριωδίαν'· κἂν παρὰ τάξιν συγκρίνω ἰδιώτην τυράννῳ,
ὅμως ὁ κοινὸς τρόπος αὐτῶν οὐκ ἀπᾴδει τούτους συγ-
κρίνειν με ὅμοι' ἄττα φρονοῦντας καὶ πράττοντας· οἷος
γὰρ ὁ ἐκείνου λόγος ὁ βίος τούτου, καὶ οἷος τούτου αἱ 845
πράξεις ἐκείνου, ὁμοῦ δὲ τῶν ἀμφοτέρων ὁ βίος ἀνθρω-

F **827** κατὰ λόγον ποιότητος: cf. Arist. ex. gr. cat. 11 a 15–19 Ioh. Dam. dial. 52 = I 119 sqq. Kott. || **838** cf. Hom. Il. II 212 sqq. || **841–842** Niceph. Blemm. stat. reg. 4,52 = 58,2 Hung. – Ševč. (de Echeto cf. Hom. Od. XVIII 85.116; XXI 308 Apost. XVII 78 = CPG II 706,4–10)

L **823** παρομοίως~κακόν ex homoeot. om. **A** || **829** πόσῳ **C** || **836** τὰ om. **A** || **845** καὶ οἷος τούτου ex homoeot. om. **A**

ποκτονίας μεστός. φιλαργυρίᾳ δὲ πρὸς τὸν Περσέα τὸν Μακεδόνα· ὃς τὸν ἐκείνου ζηλώσας τρόπον κατώρυττε τὸν χρυσόν· οἶμαι δήπου καὶ τῷ τάφῳ συνεπετέθη αὐτῷ
850 διὰ τὴν αὐτῷ φίλην φιλαργυρίαν νομίσματα. οὐκ ἔλαττον δὲ καὶ τοῦ Ναυάτου ἐνόσει φιλαργυρίαν, τὴν δῆθεν ἀποφεύγων αὐτοῦ παρθενίαν, ὁ καλῶς ἐπιστάμενος συλλέγειν καὶ ἀπορρίπτειν· ἐχρῆν γὰρ τὴν μὲν προσλαμβάνειν, τὴν δ' ἀποσκορακίζειν. ἀλλ' ἣν μὲν ἠσπά-
855 ζετο ἐκεῖνος, αὐτὸς ἀπεδίωκεν· ἣν δ' ἀκολάστως διήρχετο, κατάκρως οὗτος ἐπόθει, ἀμφοτέρωθεν ἐμπίπτων κρημνοῖς. ἀπιστίᾳ δὲ πρὸς τὸν Ἰούδαν καὶ ταύτην ἔχων κατ' ἐπίτασιν ἴσως. ἀλλὰ τί τὸ πρὸς ἀνθρώπους αὐτὸν συγκρίνειν σεμνόν; καὶ οἷον τὸ ὅμοιον καὶ τί τὸ ἁρμόδιον
860 ἀνθρωπόμορφον ζῷον ἐκεῖνον ὄντα, ἢ μᾶλλον τὸ ὅλον θηρίον; ζῴοις δὲ λίαν προσφυεστάτη ἡ αὐτοῦ σύγκρισις, ἣν λήθῃ μὲν πρὶν παρεῖδον, ἀλλὰ φρονήσει νῦν ἐπεισάξω. ὅμοιος γοῦν ὑπῆρχεν *ἵππῳ θηλυμανίᾳ – πρὸς γὰρ τὰς γυναῖκας τῶν πλησίον αὐτοῦ* ἀκρατῶς *ἐχρεμμέτιζε* –,
865 σκύμνῳ καθ' ἁρπαγήν, ἐλάφῳ ψυχῇ, κερδοῖ πονηρίᾳ, μι-

H **847–848** divitias Persei, Macedonum regis, laudat Plutarch. Aemil. 272 f–273 b; 275 b 3–6 = II[1] 215,18–216,10; 219,23–26 Ziegl. nec non Liv. XLV 40 praeterea cf. Niceph. Blemm. stat. reg. 5,74 = 64–66 Hung. – Ševč. || **851** haeresiarcha, cf. Epiphan. panar. haer. 59 = II 363–379 Holl

F **863–864** Septuag. Ierem. 5,8

L **864** πλησίων **A** || **865** ψυχὴν **A**

M **856** κατάκρας **C**

P **847–848** cf. 6,97

μοῖ δυσειδείᾳ, Ἰνδικῷ μύρμηκι χρυσομανίᾳ, κόρακι λαιμαργίᾳ, κέπφῳ φρονήσει, ἰχθύι ἀφωνίᾳ, κυνὶ ἀναιδείᾳ, καμήλῳ γοργότητι, ἐλέφαντι εὐστροφίᾳ, κάνθωνι εὐμουσίᾳ, ἄρκτῳ κοινωνίᾳ, ὑῒ σεμνότητι. θωὸς δέρματι τρόπου λειότητι, γνώμης ἁπλότητι παρδάλεως δέρματι 870 βούλομαι ὁμοιῶσαι τοῦτον καὶ εὐωδίᾳ κανθάρου· διὰ τὸ εὐῶδες τῶν τούτου πράξεων καὶ θείων ὀσμῇ καὶ πτώματος εὐοσμίᾳ. ὁδοστατεῖ με δὲ κατ' ἀντιρροπὴν ἡ τούτων δὴ τῶν ἀψύχων ποιότης καὶ πρὸς ταύτην αὐτὸν συγκρίνειν ὠθεῖ· χαλάζης δὴ λέγω ξηρότης, χιόνος ψυχρότης, 875 λίθου δυσκινησία. ἐγὼ δὲ πᾶσι πρὸς τὸ κατάλληλον συγκρίνας αὐτόν, ἀληθῶς καὶ προσφυεστάτως συγκρίνω τοῦτον τῷ δαίμονι, καὶ συγκρίνω κατά τε τρόπον καὶ γνῶσιν καὶ πρᾶξιν, πείθομαι δὲ πᾶς τις ὁμολογήσει αὐτό, εἰ καὶ μὴ φιλολόγος ὑπάρχει ἢ φιλολόγιος – αἰ- 880 δεῖται γὰρ τὸ ἀληθὲς καὶ πολέμιος –. ἀλλ' ὢ καλοκἀγαθίας τοιαύτης, ὢ ἀνδρὸς ἀρετῆς, ὢ τῶν καλλίστων συναγωγῆς. εἰ μὴ γὰρ τοιαύτη καὶ τοσαύτη ἐκ πρώτης ἦν τῆς συμπήξεως, οὐκ ἂν καὶ τοσαύτας χάριτας δέδωκε τῷ ὑμνουμένῳ· ὅτι δὲ καὶ τὰ ὑπὲρ ταῦτα σὺν τού- 885 τοις καὶ συνήθροισεν εἰς τὸ διαπλάσαι καὶ διαμορφῶσαι τὸν ἄνδρα, διὰ τοῦτο καὶ τοιαύτας αὐτῷ ἐφιλοτιμήσατο χάριτας.

F **866** Ἰνδικῷ ~ χρυσομανίᾳ: cf. Herodot. III 102,2 Strab. II 1,9 = I 145,1–2 Sb. || **867** κυνὶ ἀναιδείᾳ: cf. Hesych. lex. s. v. κύων || **868** de cameli impetu et iracundia cf. Bas. Caes. hom. in hexaem. 8,1,9–10 = 240,51–55 Nald.

L **875** λέξω **A**

M **880–881** γνω(μικόν) **A**

P **867** ἰχθύι ἀφωνίᾳ: cf. **6,44–45**

24. Ἀλλὰ τί χρή με παθεῖν παρὰ ῥήτορος λαλιστάτου
890 καὶ καλῶς ἠσκημένου τὴν γλῶτταν στρέφειν καὶ Μούσαισι συνδιάγοντος, ἐπειδὴ τοσοῦτον περὶ τὰς συγκρίσεις τοῦ κάχληκος τουτουί, ὡς ἀναισθήτου καὶ κούφου, τοὺς λόγους πρὸς μῆκος ἀπέτεινα, καὶ τὸ δεύτερον, ὅτι καὶ τοῦ αὐτοῦ πότμου ἐπελαθόμην, τοῦ ἴσως ἔχοντος
895 ποικίλην τὴν ἱστορίαν εἰς εὐφροσύνην τῶν ἀκουόντων τε καὶ ὠφέλειαν; ὅμως εἴπερ ἔπαθον οὐκ ἀπὸ θέμιδος ἦν τὸ κρίμα τε καὶ τὸ πάθημα, ἐπειδὴ καὶ στρατιώτης στρατιώτην ῥυθμίζει, καὶ στρατηγὸς στρατηγόν, καὶ ἐπιστήμονα ἐπιστήμων, καὶ τεχνίτην τεχνίτης, καὶ βά-
900 ναυσον βάναυσος, καὶ γεωργὸς γεωργόν, καὶ ῥήτωρ τὸν ῥήτορα. δεδιὼς γοῦν εὐλόγως ἐγὼ τούς τε Δημοσθένους γόνους καὶ Ἑρμογένους ἤδη διΐσταμαι τῆς συγκρίσεως, μήπω τι πάθω τοῦ μὴ λαλεῖν πρὸς ὕδωρ εἰδότος πάθημα· χωρήσω δὲ οἷς διενοήθην ἀφηγήσασθαι περὶ τοῦ
905 ἀσχημονεστάτου πάντη θανάτου αὐτοῦ. ἀφηγήσομαι δὲ ἐκ τῆς ἐν τῷ τότε καιρῷ ἡμετέρας ἐν Νικαίᾳ διατριβῆς ἐναρξάμενος. ἔστι δὲ οὕτως·

25. Ἐμπεριπολούντων ἐν τῇ Νικαέων ἡμῶν πόλει φίλῃ ἐμοί – οἶμαι δὲ καὶ πᾶσι τοῖς εὐφρονοῦσιν, ἐπειδὴ καὶ
910 τὸ ταύτης ὄνομα νίκης ἔχει προχάραγμα –, ἠσχολούμεθα περὶ τὰς ἐν ἐκείνῳ τῷ καιρῷ ὑποθέσεις· λέγω δὴ τὰς γαμηλίων καὶ προαυλίων καὶ τούτων ὄντων βασιλι-

H **912–913** nuptias inter Iohannem III Ducam Batatzen et Annam–Constantiam, Friderici II Germanorum imperatoris filiam, ca. a. 1244 celebratas significat, cf. F. Dölger, Regesten der Kaiserurkunden des Ost. Reiches 565–1453, III, 1779–1781

F **903** λαλεῖν πρὸς ὕδωρ: cf. Demosth. 18,139; 45,47; 57,61 al.

L **890** ἠσκημένον **C** ‖ **901** γοῦν] οὖν **C** ‖ **903** εἰδότως **A**

M **907** διήγησις **A**

κῶν ἐμοὶ καὶ πατρῴων, ὧν ἡ γνῶσις καὶ ἡ εὔκλειά τε
καὶ περιφάνεια καὶ τἄλλα πάντα τὰ καλοκἀγαθίας τε-
λέσματα μόνοις ἀναισθήτοις καὶ περιπεζίοις τῇ γνώσει 915
διαπεφεύγασι. τελούντων γοῦν ἡμῶν τὰ χαρμόσυνα,
παρέστη καιρὸς ὁ τῆς ἐξελεύσεως καὶ ὁ βασιλεὺς σὺν
στρατεύματι καὶ ἐμοὶ πρὸς τὴν τῶν Προυσαέων ἐπορεύ-
θημεν γῆν, Κυνὸς οὐρανίου τῷ φαινομένῳ περιπολεύον-
τος, οὗ δὴ πρόσθεν καὶ Παρθένος ἐν Ἄρκτῳ ἐπικαθεζο- 920
μένη διέρχεται, καὶ ἡμεῖς μὲν αὐτῷ τῷ καιρῷ ἐκείνῳ
προσεχωροῦμεν τῷ τόπῳ. οὗτος δὲ ὁ τριπέμπελος νο-
σάνσει τινὶ καθυποβληθεὶς τῇ τῶν χυμῶν ἐκτροπῇ, καὶ
τούτων ἀγανακτησάντων τῇ τοῦ γήρως αὐτοῦ παρεκ-
τάνσει καὶ τῷ χρεὼν λειτουργήσειν ζητούντων, περὶ τὴν 925
πόλιν βραδῦναι ἀνέμενε, τὸ μέν τοι ἐπιμεληθησόμενος
ἑαυτοῦ, τὸ δ' ὅτι καὶ περὶ τὸ τέλος τελέσειν ἐπὶ πλέον
τὰ Ἀφροδίσια, ἵν' ἔχῃ ταῦτα ἐφόδιον προσφυές. ἐπεπό-
θει καὶ γὰρ προσθεῖναι τοῖς ἀσελγήμασιν ἐπισφράγισμα
ἀσελγήματα καὶ ταῖς ὕβρεσιν ὑπεκκαύματα ὕβρεων. ὃ 930
δὴ ποιήσας καὶ παραμείνας τῇ Νικαέων, ἡμῶν περὶ τὰ
Μυσίας ὅρια διατριβόντων – ἣν δή που θεοῦ καλέσομαι
καλοκἀγαθίας ἀξίως προκατασκευήν, ἵν' ἐκείνου τὸν
χωρισμὸν ὡς ἔν τινι παραπετάσματι ὑποδείξῃ πρός με
λίαν ἐξ ἐκείνου τὰ ἀνύποιστα πάσχοντα, καὶ οἷον προ- 935
θαρρῦναι τὸν ἐμὸν νοῦν, ὃν ποικίλαις μεθοδείαις ἐπει-
ρᾶτο σβέσειν ἐκεῖνος –, ἐκ νοσάνσεως εἰς ὁλόκληρον ὁ
θεὸς ἐνέθηκε νόσον αὐτόν, καὶ ἦν ἤδη νοσῶν ὁ νοση-
λευόμενος. ταῦτα δὲ πλήρη καλοκἀγαθίας ἀγγέλου τι-

H **919–920** sc. aestivis temporibus, cf. Arat. 27.96 sq.327

L **914** τὰ ἄλλα **C** ‖ **917** καὶ ante καιρὸς add. **D** ‖ **926** ἀνέμεινε **C** ‖ **928** ἵνα **A** ‖ **930** ὁ **C**

940 νὸς εἰπόντος ἡμῖν, ᾔδομεν ᾠδὰς τῷ θεῷ, ὡς ἐπὶ τῇ τῶν
ἀλλοφύλων νίκῃ ὁ Μωϋσῆς. παρατριβόντων ἡμῶν δὲ τῷ
τόπῳ κατεμάρανεν ἡ νόσος αὐτόν· συντήξασα γοῦν τοῦ-
τον καλῶς τῆς Νικαέων ἐξεκλήρωσεν, ὡς εἰκὸς ἡττή-
σασα τὸν δυσδαίμονα. ἀφίκετο δὲ ὁ θηριώδης εἰς ἡμᾶς
945 τοὺς ἡμέρους, ὡς εἴπῃ τις, σκελετός. ὢ μέγα ὅραμα. *κα-
τελύθη* 'τὰ ὄρη βίᾳ' *καὶ βουνῶν ὑψώματα τεταπείνωνται*
νόσῳ σμικρᾷ τῇ ἰσχύϊ καὶ φύσεως καθὰ θέμις ἀκολου-
θίᾳ. ἡμεῖς δὲ τοῦτον ἰδόντες ἀσυνήθως ἐχάρημεν· οὐδὲ
γὰρ πώποτε ἄνευ λύπης διωμιλοῦμεν αὐτῷ. παραμείνας
950 ἐν ἡμῖν δὲ ὡς ἑβδομάδος μιᾶς, ἐπὶ τὰ τῶν Θρᾳκησίων
ἐπορεύετο μέρη τὴν νόσον φέρων ἐπὶ τὴν κεφαλήν, ἴσως
δὲ καὶ ὑπηρεσίαν ἡμετέραν οἰκονομήσων τινά. ἃ δὲ τῇ
ἐξ ἡμῶν ἀποστάσει εἰς ἡμᾶς πέπραχεν ἀναβάλλομαι λέ-
γειν. ἐπορεύθη μὲν οὖν ἐκεῖνος ἔνθα καὶ ἤθελεν. ἡμῖν δὲ
955 θεὸς τὴν αὐτοῦ διάζευξιν φιλοτιμησάμενος προσέθηκε
καὶ τὸ μηκέτι δουλεύσειν αὐτῷ· ἣν ἡμέραν τροπικώτε-
ρον εἴπῃ τις ἐκείνην τῆς διαζεύξεως χρυσανθοῦσαν τῇ
ἱλαρότητι, ὡς πέπλα ἐνδεδυμένην αἰθρίας διαφανοῦς,
ἡλιόμορφον, νύμφην κεκαλλωπισμένην ὡς ἐν παστῷ,
960 ἀφθονίαν ἀγαθῶν ὡς πολυχεύμονας καταρρέουσαν γλυ-
κύτητος αὔλακας, εὐαγγέλιον χαρᾶς ὡς βοῶσαν, ἄγγε-
λον οὐρανοῦ πρὸς θνητούς, αὐτὴν ἀρετήν, αὐτὴν ἀγαλ-
λίασιν, αὐτὴν θυμηδίαν· καὶ ταῦτα πάντες οὐ τροπικῶς
δεχθῶσιν, ἀλλ' ἀληθῶς αὐτῇ ἐφαρμόσουσιν, ἐπειδὴ τὸν

H **950** τὰ τῶν Θρᾳκησίων: cf. Const. Porph. de them. 3 = 67–68 Pert.

F **940–941** cf. Septuag. ex. 15,1 || **945–946** Septuag. Hab. 3,6 || **946** Septuag. Is. 40,4

L **947** νόσος **A** | μικρᾷ **A** || **950** ἐν ἡμῖν om. **D** || **956** δουλεύειν **C** || **958** πέπλῳ **A**

παντὸς κόσμου κοινὸν διάβολον ἠφάντωσεν ἐξ ἡμῶν καὶ 965
ἐκ πάσης τῆς γῆς. πορευθεὶς γοῦν ἐκεῖνος ἐπὶ μέρη τὰ
τῆς Ἀσίας – ἔνθα καὶ τὰ πρὸς τὸν καιρὸν ἐκεῖνον εἴχο-
μεν ἴδια –, κατεδαπανᾶτο τῇ νόσῳ λίαν ἀντιτείνων καὶ
τοὺς φυσικοὺς τρόπους εἰς τὸ τῷ ὑποκειμένῳ ἀρήγειν
ἀδδηφαγίαις καὶ πότοις καὶ ποικιλίαις τροφῶν. ἐπεὶ δὲ 970
καὶ τόνος χαλασθεὶς οὐκ ᾄδει φωνὴν καὶ χορδῆς ῥη-
χθείσης πάσχει ὁ ἁρμόττων τῇ ἐπιστήμῃ τὰ ὅμοια, οὕτω
καὶ ψυχῆς διαζεύξει σώματος οὐδ' ὁπωσοῦν τὸ ὑλικὸν
ἐνεργεῖ, κἂν ὅσα τις μεθοδεύηται – ἐκεῖθεν γὰρ ἔχει
τὴν ἁρμονίας περιοχήν –· ἧς φυσικῶν ὅρων ἀποχωρού- 975
σης, ὅτε τὸ παντέφορον ἐπικρίνειεν ὄμμα, ἀκίνητον
μένει τὸ ὑπουργόν, ἐν ᾧ ἐμφαίνει ⟨...⟩ οὐ δεῖ παθή-
ματι ἀνδρὸς ψυχὴν κατεπαίρεσθαι. ἀρξαμένου δὲ λέγειν
τὴν ἡδυτάτην ἐκείνην φωνὴν τὴν βοῶσαν ὁ ἀνόσιος
τέθνηκεν. 980

26. Ὢ μέγα κράτος θεοῦ. κατεσταλάχθη μου τῇ ψυχῇ
'δρόσος' ἀγαλλιάσεως ὑπὲρ τὸν 'ἐπὶ τὰ ὄρη Σιὼν' κα-
ταρρέοντα. μικρὸν δὲ διὰ τὸ κοινοφειλὲς προσδακρύσας
ἄκροις τε χείλεσι λύπης ἔπος εἰπών, ἔβαινον χαρᾷ ἐν
πολλῇ. μικροῦ δὲ καὶ εὐαριθμήτων διελθουσῶν στιγμῶν 985
ἐπεφθάκειν εἰς τὸ ποθούμενον. ὢ οἵα τότε χαρά. τερπό-

H **982–983** δρόσος ... ὑπὲρ τὸν ... καταρρέοντα: genus mascul. pro femin. usurpat, cf. A. N. Jannaris, An Historical Greek Grammar, Londinii 1897, phototyp. exscr. 1968, p. 103, nn. 246–249[b]

F **982** Septuag. ps. 132,3

L **967** Ἀσίας] οὐσίας **A** || **971** χορδῆς] φωνῆς **C** || **973** ὁποσοῦν **AC** || **976** ἐπικρίνοιεν **D** || **977** post ἐμφαίνει lacunam indicant **A** *x* spatio vacuo relicto (ff. 85–85[v] **A**, 57[v]–58 **C**, 280[v]–281 **D**) || **983** κοινοφειλὲς] an -ωφελὲς scribend.?

μενος γοῦν καθεκάστην καὶ τὰ τῆς ἐκείνου τελευτῆς γεγενημένα κατέμαθον. εἶχον δὲ οὕτως· τῆς νόσου ὑπεραρθείσης ἐκείνου καὶ τοὺς ὅρους τῶν ζωτικῶν αὐτοῦ δυ-
990 νάμεων κατακρατησάσης καὶ τοὺς χυμοὺς εἰς τὸ παντελὲς ἐκ τοῦ πλημμελοῦς ἐκτρεψάσης, τέλεον διερρύη ἡ σάρξ. ἠπείθει δὲ καὶ οὕτως τὸν θάνατον. ἐκ γοῦν τῆς πρώτης τῶν σφιγμῶν συζυγίας εἰς τὴν ὑστάτην κατήντησαν οἱ τούτου σφιγμοί, κἀκ ταύτης περὶ τὸ τέλος·
995 ἔβαινον γὰρ κατὰ μύρμηκα. τότε δὴ τοὺς ἀρίστους τῶν ἰατρῶν μετακαλεσάμενος ἠρώτα περὶ τοῦ θανάτου. πρώτῃ δ' αὖ τῇ ἁφῇ τὸν μέλανα μόρον νοήσαντες ἀπεῖπον· ἦν δὲ πρωΐ. ὁ δὲ καὶ πάλιν ἐσφάδαζε πρὸς τὸ ζῆν καρκίνου δίκην, κἂν ὁ τόνος ὁ ζωτικὸς ἐπορεύετο. δευ-
1000 τέρᾳ δὲ προσβολῇ ἐρευνήσαντες τὸν σφιγμὸν εὗρον ἤδη σβεννύμενον· πυνθανομένου δ' ἐκείνου πάλιν ἐκεῖνοι τὴν ἀπαγόρευσιν ἔλεγον. ὃς δὴ πεισθεὶς παρὰ τὴν συνείδησιν οὐκ ἐδάκρυε μετανοήσων, ἀλλ' ἐτεχνάζετο καὶ πάλιν τι κατ' ἐμοῦ· ἔγνω καὶ γὰρ πλησιάζειν ἡμᾶς τῷ
1005 χώρῳ ὅπου κατέκειτο. ἀγγέλους δὲ ὁ τῆς εὐωνύμου ἄγγελος μοίρας πρὸς ἡμᾶς ἐκπέμπων ἐκάλει συγχωρῆσαι αὐτῷ δῆθεν μετακαλούμενος. τοῦτο δ' οὐκ ἦν· ἐξέφηνε γὰρ καὶ τὴν τούτου βουλὴν πρὸς τὸν τῆς ψυχῆς ἐκείνου ἀνάδοχον, ὅμοιον ἐκείνῳ ὄντα κατὰ πολύ, ἣν ὑστάτως
1010 ἐξ ἄλλων ἀκριβέστερον ἔγνωμεν. προσθήσειν γὰρ κακὸν τοῖς κακοῖς, οἷς εἰργάσατό μοι τὸ πρίν, ἐπιθυμήσας ἐν τοῖς ὑστάτοις οὐδὲν ἄλλο διενοήσατο, ἢ τὸ προσθεῖναί μοι μώλωπα. γινώσκων γὰρ τὴν τῆς ἐμῆς ψυχῆς πρὸς ἐκεῖνον διάθεσιν ἠβούλετο, ἐπὰν πλησιάσω τούτῳ δα-
1015 κρύων, ὥσπερ τις κύων ἀνηλεῶς καταμασσήσασθαί μου

L 993 σφιγμάτων **A** ‖ 996 δὴ post ἠρώτα add. **AC** ‖ 998 καὶ om. **D** ‖ 999 ὁ[2] om. **C** ‖ 1008 τὸν] τὴν **A** ‖ 1012 διενοήσαντο **C** ‖ 1013 γινώσκω **C**

